καὶ ἡ νὺξ ἐκείνη πάντας εἶχεν ἐν ἐλπίσιν οὐκ ἀγαθαῖς,
also the night that all held in hopes not good
καθότι καὶ τὸ πεζὸν ἅπαν τῶν Ἀρμενίων, ἐπιταχθὲν
inasmuch-as also the infantry whole of-the Armenians having-been-ordered
διανυκτερεύειν περὶ τὴν τάφρον ἐν προτειχίσματι,
to-spend-the-night about the ditch in outwork
ἀποστασίαν ἐσκόπησε, μὴ πειθαρχῆσαν τοῖς λέγουσι.
revolt considered not having-obeyed the(-men) speaking
καὶ ἡ μὲν νὺξ ἐκείνη δριμεΐά τις καὶ βαρεῖα τοῖς
and the indeed night that bitter some and heavy for-the
Ῥωμαίοις διατετέλεστο· οὔπω δ' ἡμέρα προῄει, καὶ οἱ
Romans was-completed not-yet but day was-advancing and the
πολέμιοι τὸν χάρακα πανστρατιᾷ περιέζωσαν. μεμαθηκὼς
enemies the palisade with-whole-army girded-round having-learned

γὰρ ὁ τοῦ Χάλεπ ἄρχων τὸ προγεγονὸς προτέρημα παρὰ
for the — of-Aleppo ruler the previous success from
τῆς μοίρας αὐτοῦ, μεθ' ὅλης ἦκε τῆς ἑαυτοῦ δυνάμεως
the portion his with whole came the his-own force
ὡς αὐτοβοεὶ αἱρήσων τὸν βασιλέα μετὰ τῆς συνούσης
as at-the-first-shout going-to-take the emperor with the being-with
αὐτῷ στρατιᾶς. καὶ οἱ μὲν οὕτω περιιππεύοντες ἡμᾶς
him army and they indeed so riding-round us
καὶ θηριωδῶς ἐκφοβοῦντες ταῖς βαρβαρικαῖς ὑλακαῖς οὐ
and savagely terrifying with-the barbarian howlings not
διέλιπον· ὁ δὲ βασιλεὺς ἐντὸς τῆς σκηνῆς διαγράφων τὸν
ceased the but emperor inside the tent drawing-up the
πόλεμον, περὶ τρίτην ὥραν ἀθρόον ἐξελήλυθεν ἔφιππος
war about third hour all-at-once went-out on-horseback
(ἐνίστατο δὲ εἰκοστὴ τοῦ νοεμβρίου μηνὸς ἰνδικτιῶνος ζ′),
was-at-hand but twentieth of-the November month of-indiction 7
βοῆς βυκίνων ἢ σαλπίγγων μὴ προενηχησάσης αὐτοῦ τὴν
shout of-horns or of-trumpets not having-sounded-before his the
πρόοδον. ἀρθέντων δὲ τῶν σημείων, καὶ τῆς στρατιᾶς
advance having-been-raised but the standards and the army
κατὰ λόχους συντεταγμένως ἐξιούσης, ἤρξαντο οἱ πολέμιοι
by companies in-order going-out began the enemies
περὶ μέρος ἕν, καθ' ὃ τοὺς Ῥωμαίους εἶδον ἐλαύνοντας
about part one at which the Romans they-saw driving
κατὰ φάλαγγας, καὶ αὐτοὶ συναθροίζεσθαι. καὶ ὁ ἀγὼν
by phalanxes also themselves to-gather and the contest
ὅσος, καὶ ἡ τοῦ μέλλοντος ἔκβασις οἵα, ταῖς ψυχαῖς
how-great and the of-the future outcome what-kind in-the souls
ἐναπέστακτο. ὅμως δ' οὖν ἐνυάλιον ἀλαλαξάντων τῶν
had-been-instilled nevertheless but then war-cry having-raised the(-men)
κατὰ μέτωπον προασπιζόντων ἐν τῇ συμβολῇ, πολλοὺς
in front shielding in the encounter many

τῶν πολεμίων οἱ Ῥωμαῖοι κατηγωνίσαντο διαχειρισάμενοι.
of-the enemies the Romans overcame having-dispatched
τοῦ δὲ λοιποῦ πλήθους τῶν Ῥωμαίων ἐξορμήσαντος
of-the but remaining multitude of-the Romans having-rushed-out
κατ᾽ αὐτῶν φυγὴ τούτων ἀνυπόστατος γίνεται. οἱ δὲ
against them flight their irresistible happens the(-men) but
κατόπιν τῶν φευγόντων ἐλαύνοντες πολλοὺς μὲν ἀνεῖλον,
behind the fleeing driving many indeed killed
οὐκ ὀλίγους δὲ ζωγρήσαντες ἔλαβον. τῆς δὲ διώξεως
not few but having-taken-alive took of-the but pursuit
μέχρι πολλοῦ μὲν γενομένης, μεγάλης οἱ Ῥωμαῖοι νίκης
to much indeed having-happened great the Romans victory
καὶ αὐχήματος ἐξηστόχησαν. τῶν γὰρ Ἀραβικῶν ἵππων
and boast missed of-the for Arabian horses
ταχυδρομεῖν εἰδότων ἄχρι τινός, μηδ᾽ εὐψυχούντων
to-run-fast knowing as-far-as some(-point) nor being-spirited
δ᾽ ἐπὶ πολλοῦ διαστήματος, ὅταν οἱ Ῥωμαῖοι τὴν
but over much distance when the Romans the
ἀτονίαν ἐκείνων οἰκείαν εὐτονίαν ἢ εὐτυχίαν ποιήσασθαι
slackness of-those own vigor or good-fortune to-make
ἔμελλον, τότε τοὺς ῥυτῆρας ἐξ ἐπιτάγματος βασιλικοῦ
were-about then the reins from command imperial
ἐπιστρέψαντες τὴν νίκην ἀμβλεῖαν ἑαυτοῖς ἀπειργάσαντο,
having-turned the victory blunt for-themselves made
κορεσθέντες μόνῃ τῇ τῶν ἐναντίων ἀποτροπῇ.
having-been-satisfied with-only the of-the opponents turning-back
114 Οὕτως εἶδον ἐγὼ τοὺς νῦν Ῥωμαίους μήτε καιρὸν
thus saw I the now Romans neither occasion
ἁρπάσαι δεδυνημένους μήτε λόχους καθίσαι, μήτε πολέμῳ
to-seize having-been-able nor ambushes to-set nor by-war
δριμεῖ κρῖναι τὸ πᾶν εὐθυφρονοῦντας, μήτε δυνάμεις
sharp to-decide the whole being-right-minded nor forces

τῶν ἐναντιουμένων αὐτοῖς διακρίναντας, ἀλλ' ἑνὶ
of-the(-men) opposing them having-distinguished but with-one
κανόνι χρωμένους πρὸς ἅπαντας, τούς τε δυνατωτάτους
rule using toward all the both most-powerful
τῶν ἐναντίων καὶ τοὺς γλίσχρως καὶ ἡγεμονικῶς εἴτ'
of-the opponents and the(-ones) meanly and as-leaders or
οὖν τοπαρχικῶς ἔχοντας. τί γὰρ ἦν τότε δέος πρὸς τὸν
then as-local-lords being what for was then fear toward the
τοῦ Χάλεπ ἡγεμόνα εἰς τὸ μὴ διώκειν αὐτὸν ἀκρατῶς
— of-Aleppo leader for the not to-pursue him unrestrainedly
μετὰ τὴν τροπήν, ὀπισθοφυλακοῦντος τοῦ βασιλέως μετὰ
after the rout guarding-the-rear the emperor with
τῆς λοιπῆς τοῦ στρατοῦ μοίρας, καὶ κατόπιν ἐπιτρέπειν
the remaining of-the army portion and behind to-allow
τὴν παρεμβολὴν ἕπεσθαι μέχρις ὅτου καὶ τῷ Χάλεπ
the camp to-follow until when also — Aleppo
ἐπέστησαν καὶ τοὺς ἔνδον τῷ φόβῳ κατέσεισαν
they-stood-over and the(-men) within with-the fear shook
καὶ τὴν πόλιν αὐτῶν παρεστήσαντο, τοὺς πλείους τῶν
and the city their subdued the most of-the
στρατιωτῶν ἐν τῇ φυγῇ κατακόψαντες. καθὼς γὰρ καὶ
soldiers in the flight having-cut-down as for also
ὕστερον μεμαθήκαμεν, ὅτι καὶ αὐτοὶ οἱ τοῦ Χάλεπ
later we-have-learned that also themselves the(-men) — of-Aleppo
καραδοκοῦντες ἦσαν ἐφ' ᾧ τὴν πόλιν αὐτῶν ὁμολογίᾳ
expecting were for which the city their by-agreement
καὶ συνθήκαις ἀφεσίμοις παραδοῦναι τῷ βασιλεῖ, ἐπείπερ
and compacts releasing to-hand-over to-the emperor since
καὶ ἡ νεότης τούτων παθεῖν ἔμελλε πᾶσα, εἰ προέβη
also the youth their to-suffer was-about all if had-gone-forward
τὰ τῆς διώξεως. ἤλαυνον γὰρ καὶ αὐτοὶ πεζικῇ
the(-things) of-the pursuit were-driving for also themselves with-infantry

παρατάξει διὰ τὴν ἐλπίδα τοῦ πρώην τῶν Σαρακηνῶν
battle-line because-of the hope of-the former of-the Saracens
προτερήματος, ὥστε τὸν χάρακα τῶν Ῥωμαίων ἐξ
success so-as the palisade of-the Romans from
ἐπιθέσεως αἱρήσειν πολεμικῆς. νῦν δὲ τῷ ἀδιακρίτῳ
attack to-take warlike now but by-the indiscriminateness
τῆς τῶν ἀρχόντων ἡγεμονίας καὶ τῆς αὐτῶν ἰσχύος τῶν
of-the of-the rulers leadership and of-the their strength of-the
Ῥωμαίων οἱ βασιλεῖς καὶ ἡγεμόνες ἰσχυρῶς συνεχόμενοι,
Romans the emperors and leaders strongly held-fast
τάς τε νίκας αὐτῶν εἰς ἀγενὲς περιστέλλουσι πέρας,
the both victories their into ignoble wrap-round end
καὶ τοὺς ἐχθροὺς εἰς αὔχημα μεῖζον ἐπαίρουσιν, οἳ καὶ
and the enemies into boast greater lift-up who also
κυριαρχὴν ἐν ταῖς νίκαις τῷ συνεχεῖ τῆς διώξεως μὴ
lordship in the victories by-the continuity of-the pursuit not
διανοούμενοι, τὴν τῶν Ῥωμαίων γῆν ὑπόφορον αὐτῶν
intending the of-the Romans land tributary their
ἢ μηλόβοτον πεποιήκασιν, ὡς διὰ τῶν ἡμετέρων
or sheep-grazed made so-that through the our
ὑστερημάτων ἀναπληροῦσθαι τὰ ἐκείνων θελήματα.
shortcomings to-be-fulfilled the their wishes
116 Ἀλλὰ τοῦτο μὲν οὕτως· ἐπανελθὼν δ' ὁ βασιλεὺς
but this indeed so having-returned but the emperor
εἰς τὸν χάρακα μετὰ τὴν τῶν ἐχθρῶν ἀποσόβησιν,
to the palisade after the of-the enemies driving-off
ἔγνω τὴν ἀκρόπολιν τῆς Ἱεραπόλεως ἐνοικίσαι καὶ
resolved the acropolis — of-Hierapolis to-settle and
στρατηγὸν ἀποδεῖξαι ταύτης, ἐφ' ᾧ κατὰ μικρὸν
general to-appoint of-it for which by little
καὶ τὴν ἄλλην πόλιν Ῥωμαίων γενέσθαι καὶ Ἀρμενίων
also the other city of-Romans to-become and of-Armenians

κατοικητήριον. καὶ διὰ τοῦτο χρονίσας ἐκεῖσε, καὶ
dwelling-place and because-of this having-lingered there and
φρουράν, ὅση τις ἐδόκει πρὸς φυλακὴν αὐτάρκης,
garrison as-much-as some seemed for guard sufficient
καὶ στρατηγὸν ἐπιστήσας Φαρασμάτιον ἐκεῖνον βέστην
and general having-set-over Pharasmatios that vestes
τὸν Ἀποκάπην, ἐξ Ἀρμενίων τὸ γένος ἕλκοντα, χώραν
— Apokapes from Armenians the race drawing room
δέδωκε τοῖς ἐναντίοις ἀνακαλέσασθαί τε τὴν ἧτταν καὶ
gave to-the opponents to-recover both the defeat and
ἀντίπαλα φέρεσθαι. καὶ ἕως μὲν ἐστρατοπεδευμένος ὁ
opposing(-blows) to-bear and while indeed encamped the
τῶν Ῥωμαίων στρατὸς διεδείκνυτο, κατὰ χώραν ἐδόκουν
of-the Romans army was-displayed in place seemed
μένειν οἱ Ἄραβες· ὡς δ' ἀναστρέψας τὴν στρατιὰν εὐθὺς
to-remain the Arabs when but having-turned-back the army straight
τοῦ φρουρίου τοῦ Ἀζᾶς ἤλαυνεν, ἤρξαντο σποράδην ἐκ
to-the fortress — of-Azas he-drove began scattered from
διαστήματος κατὰ τὸ εἰθισμένον αὐτοῖς ἐπιφαίνεσθαι,
distance according-to the custom for-them to-appear
καὶ περὶ τὴν οὐραγίαν πολλάκις ἐπιτιθέμενοι, ἢ καὶ τοὺς
and about the rearguard often attacking or also the(-men)
τὰ σιτία μετακομίζοντας, ἐλύπουν τοὺς Ῥωμαίους, ὡς
the provisions carrying-over vexed the Romans as
ἂν ἐξ ἐπιδρομῆς καὶ λόχου τὰς ἐπιθέσεις ἐν τῷ λεληθότι
— from raid and ambush the attacks in the concealed
ποιούμενοι. ὅμως δ' οὖν καταφραξάμενος ἐκηβόλοις
making nevertheless but then having-fenced with-far-shooters
καὶ πελτασταῖς ὁ βασιλεὺς τὸ στρατόπεδον, οὕτω
and peltasts the emperor the army so
τεθωρακισμένον αὐτὸ διῆγε καὶ τὰς τῶν ἐχθρῶν προσβολὰς
armored it led and the of-the enemies attacks

ῥᾳδίως ἀποκρουόμενον, ἕως ἐν τῷ φανερῷ καὶ μάχῃ
easily repelling until in the open and by-battle
νικήσας αὖθις τοὺς ἐναντίους τῷ φρουρίῳ τοῦ Ἀζᾶς
having-conquered again the opponents to-the fortress — of-Azas
μεθ' ὅλης τῆς στρατιᾶς καὶ τῆς ἀποσκευῆς προσηνέχθη,
with whole the army and the baggage he-was-brought
μανθάνων παρά τινων ὅτι εὔυδρός ἐστιν ὁ τόπος ἐκεῖνος
learning from some that well-watered is the place that
καὶ ἱκανὸς χορηγεῖν τοσούτῳ στρατοπέδῳ δαψίλειαν τοῦ
and sufficient to-supply to-so-great army abundance of-the
ὑδρεύεσθαι. ὡς δὲ προσεγγίσας αὐτῷ οὐδὲ καθ' ἡμίσειαν
to-draw-water when but having-approached it not-even at half
τόξου βολὴν ἐρυμνότατόν τε εἶδεν, ἐπ' ἀκρωρείας τοῦ
of-bow shot most-strongly-fortified both he-saw on ridge of-the
λόφου ἱστάμενον καὶ τείχεσι διπλοῖς περιεζωσμένον καὶ
hill standing and with-walls double girded and
πέτραις ὥσπερ χειροποιήτοις γεγομφωμένον καὶ λιθίνην
with-rocks as-if handmade bolted and stone
τὴν ἄνοδον πρὸς τὴν πύλην ἀποφερόμενον, μικρόν τε
the ascent to the gate carrying small both
ὕδωρ ἀπορρέον ἐκεῖθεν καὶ μὴ δυνάμενον ὅσον πρὸς
water flowing-off from-there and not being-able as-much-as for
χιλιοστὸν μέρος τοῦ στρατοῦ ἐξαρκεῖν, ἀπέγνω τὴν ἐκεῖσε
thousandth part of-the army to-suffice gave-up the there
στρατοπεδείαν, καὶ ἀναζεύξας ἐκεῖθεν εἰς τόπον ἐπήξατο
encampment and having-broken-camp from-there in place fixed
τὴν παρεμβολήν, ἔνθα τὸ ὕδωρ ἀφθονώτερον ἔρρεε.
the camp where the water more-abundant flowed
διασκοπήσας οὖν ὡς οὐκ εὔθετόν ἐστιν ἐκ διαστήματος
having-considered then that not suitable is from distance
τοσούτου προσιέναι τῇ πόλει καὶ μηχανὰς ἐφιστάναι
so-great to-approach the city and engines to-set-up

(φθάνειν γὰρ τὴν νύκτα, καὶ δεῖσθαι μετακομιδῆς αὐτῶν
to-overtake for the night and to-need removal of-them
εἰς τὸν χάρακα, ἵνα μὴ πυρίκαυστα τοῖς πολεμίοις
into the palisade that not burnt to-the enemies
ἱστάμενα γίνοιντο), τόν τε χειμῶνα περὶ ἀκμὴν
standing they-might-become the both winter about peak
ἐρχόμενον καθορῶν καὶ τοὺς ἐναντίους περικεχυμένους
coming beholding and the opponents poured-round
ἀεὶ τῷ θάρρει τῆς τῶν ἵππων ἐν τῷ θεῖν ἀρετῆς,
always by-the confidence of-the of-the horses in the to-run excellence
ἀναστὰς ἐκεῖθεν ὥρμησε πρὸς τὰ τῆς Αὐσονίτιδος ὅρια.
having-risen from-there he-rushed to the of-the Ausonitis borders
καὶ πυρπολήσας χωρίον τι μέγιστον Κάτμα λεγόμενον,
and having-burned village some greatest Katma called
τῷ ἀμηρᾷ τοῦ Χάλεπ ἀφωσιωμένον ἐκ παλαιοῦ,
to-the emir — of-Aleppo dedicated from of-old
εἰς ἕτερον χωρίον κατέλυσε Τερχαλᾶ κατονομαζόμενον,
into another village lodged Terchala named
ἔνθα κοπτομένου τοῦ χάρακος, καὶ τοῦ βασιλέως ἐπ᾽
where being-cut the palisade and the emperor on
ὄχθης ἱσταμένου κατὰ τὸ δεξιόν, καὶ προασπιζουσῶν
bank standing on the right and shielding-before
στρατιωτικῶν παρατάξεων (ἦν δὲ καὶ τόπος ῥύακος
military battle-lines was but also place of-gully
τάξιν ἐπέχων, ἐξ ἑκατέρου μέρους βουνοῖς συνεχόμενος,
position holding from each side by-hills enclosed
ἀφ᾽ ὧν ὁ ἀριστερὸς τοὺς πολεμίους εἶχεν ἐπ᾽ ἀκρωρείας
of which the left the enemies had on ridge
ἱσταμένους κατὰ τὸ ἀσφαλές), τοῦ τε λοιποῦ πλήθους
standing in the safety of-the both remaining multitude
περὶ τὴν ἀπόθεσιν τῶν φορτηγῶν ζώων ἠσχολημένου,
about the unloading of-the burden-bearing animals being-busied

καὶ τῆς οὐραγίας ἐφετομένης καὶ ἀντιπολεμούσης τοῖς
and the rearguard following and fighting-back the(-men)
ἐπεμβαίνουσι τῶν Σαρακηνῶν, Ἄραβες δύο λαθόντες
attacking of-the Saracens Arabs two having-escaped-notice
κατόπιν τῆς ἀκρωρείας, καὶ τοὺς ἵππους ἀπὸ ῥυτήρων
behind the ridge and the horses from reins
ἐλάσαντες, ἐπ᾽ ἄκρου τῆς παρεμβολῆς ἐφορμῶσι, καὶ
having-driven at edge of-the camp rush and
δύο τῶν πεζῶν ταῖς λόγχαις ἀναιροῦσιν αὐτῶν.
two of-the foot-soldiers with-the lances kill of-them
οὓς ὁ βασιλεὺς πρῶτος τῶν λοιπῶν θεασάμενος, καὶ
whom the emperor first of-the others having-seen and
φωνῇ καταμηνύσας τὴν ἔφοδον, διανέστησε μὲν τοὺς
with-voice having-revealed the attack roused indeed the
στρατιώτας εἰς δίωξιν, οἳ δὲ φθάσαντες ἐξαισίῳ
soldiers to pursuit they but having-anticipated by-extraordinary
δρόμῳ τῶν ἵππων εἰς τὸ οἰκεῖον στρατόπεδον ἀνεσώθησαν.
speed of-the horses into the own camp got-safely-back
118 Τότε μὲν οὖν διανυκτερεύσαντες οὐκ ἀμαχητὶ
then indeed then having-spent-the-night not without-battle
(περιεβόμβουν γὰρ ἔξωθεν ὑλακαῖς ἀσήμοις οἱ
hummed-round for from-outside with-howlings indistinct the
Ἄραβες), τῇ ἐπαύριον ἄραντες εἰς τὴν Ῥωμαϊκὴν
Arabs on-the next(-day) having-set-out into the Roman
ἐπεβάλομεν γῆν, οὕτω μὲν τυπουμένην ἐκ τῶν ὁρίων,
we-entered land so indeed marked from the borders
προκατειργασμένην δὲ καὶ ἀνάστατον οὖσαν, εἰ τάχα καὶ
previously-ravaged but and devastated being if perhaps also
ἀγαθότης ἦν καὶ χρήματι καλλίστῳ καὶ μεγίστῳ τῶν
goodness was both with-produce finest and greatest of-the
τε ἄλλων καὶ αὐτῶν τῶν ἐλαιῶν βρίθουσα, πλὴν εἰ
both other(-things) and themselves of-the olives laden except if

μήπου προϊόντες κρησφύγετά τινα εὑρίσκομεν, βραχύτατά
somewhere advancing refuges some we-found very-small
τινα συντηροῦντα τῆς χώρας ἐκείνης ἐπίμονα λείψανα.
some preserving of-the land that lasting remnants
διελθόντες οὖν τοιούτους τόπους πολλοὺς εὐθὺ τοῦ Ἀρτὰχ
having-passed then such places many straight — to-Artach
ἐβαδίζομεν. τὸ δὲ τοιοῦτον κάστρον ἐστὶ στρατηγῷ μὲν
we-marched the but such fort is by-general indeed
ἀρχόμενον, φρουρᾷ δὲ καὶ κόμῃ πολλῶν καὶ ἀγαθῶν
ruled by-garrison but and by-village of-many and good
ἀνδρῶν συντηρούμενον, καὶ στρατιωτῶν οὐκ ἀμοιροῦν ἐν
men preserved and of-soldiers not lacking in
ταῖς κατ᾽ ἐπιδρομὴν ἐπιθέσεσι. τὸ δὲ τοιοῦτον προαλωθὲν
the by raid attacks the but such previously-taken
φρουρὰν εἶχε Σαρακηνῶν, ἀποταμιεύουσαν αὐτοῖς τὴν
garrison had of-Saracens storing-up for-them the
εἰς τὸ ἑξῆς αὐτοῦ καταδούλωσιν· ὅπερ ἔγγιστα τῆς
for the next its enslavement which very-near of-the
μεγάλης Ἀντιοχείας τυγχάνον μεγάλην αὐτῇ βλάβην καὶ
great Antioch being great to-it harm and
παντοδαπὴν ἐκ τῶν ἐναντίων ἐπιτρέφειν ἔμελλε, καὶ
of-every-kind from the opponents to-foster was-about and
οἷον ἀντίπολις εἶναι καὶ ἀντίθετον καταγώγιον. ἄρτι δὲ
as-it-were counter-city to-be and opposing lodging just but
τοῦ βασιλέως εὐτρεπιζομένου πρὸς τὴν αὐτοῦ πολιορκίαν,
the emperor preparing for the its siege
φόβῳ κατασεισθέντες οἱ τὴν φρουρὰν ἐμπεπιστευμένοι
by-fear having-been-shaken the the garrison entrusted
τούτου Σαρακηνοὶ νυκτὸς ἐκεῖθεν ἀπέδρασαν. ὁ δὲ
of-it Saracens by-night from-there ran-away the but
βασιλεὺς ἀνακωχὴν τοῦτο τῆς ἐργολαβίας καλῶς
emperor relief this of-the labor rightly

ἡγησάμενος, τίθησι μὲν αὐτοῦ που τὸν χάρακα,
having-considered places indeed there somewhere the palisade
διατίθησι δὲ τὰ κατ᾽ αὐτοὺς εὐπρεπῶς, στρατηγόντε
arranges but the(-things) concerning them fittingly both-general
καὶ φρουρὰν ἐπιστήσας καὶ σιτήσεις ἐναποθέμενος καὶ
and garrison having-set-over and provisions having-stored and
πάντα τὰ τῷ καιρῷ διαταξάμενος πρόσφορα. ἐπ᾽
all the(-things) for-the occasion having-ordered suitable under
αὐτοῦ τοίνυν τοῦ βασιλέως ἤρξαντο Ῥωμαῖοι πολεμίοις
very therefore the emperor began Romans to-enemies
ἀντοφθαλμίζειν καὶ πρὸς γενναιότερον ἀναφέρειν λόγον
to-look-in-the-face and to nobler to-bring-back reckoning
καὶ συνίστασθαι πρὸς ἀντίθεσιν, ἐπεὶ τάγε κατὰ
and to-stand-together for opposition since the(-things)-at-least under
τοὺς προβεβασιλευκότας, ἐξ οὗπερ ὁ Μονομάχος καὶ
the previous-emperors from when — Monomachos and
οἱ καθεξῆς ἐπεκράτησαν, πλὴν ἐπιδείξεως μόνης
the(-ones) in-order ruled except display only
καὶ πλήθους συναγωγῆς οὐδενὶ καρτερὰν πρὸς μάχην
and of-multitude gathering with-no-one stoutly for battle
συνέρραξαν· ὡς εἶναι δῆλον ὅτι τοῦ ἡγεμόνος ὡς
they-clashed so-as to-be clear that of-the leader as
ἐπίπαν ἐστὶ τὸ κατορθούμενον ἐν ὅλοις τοῖς
on-the-whole is the(-thing) succeeding in all the
πράγμασιν.
affairs

119 Ἐπεὶ δὲ ἡ Ἀντιόχεια προκατείργαστο ταῖς ἐπιδρομαῖς
since but — Antioch had-been-worn-out by-the raids
καὶ σίτου σπάνιν ἐκέκτητο, δείσας ὁ βασιλεὺς μὴ
and of-grain scarcity had fearing the emperor lest
παραγενόμενος ἐκεῖσε καινοτομήσῃ τῇ πόλει τὰς
having-come there he-should-make-inroads on-the city the

ἰδίας τροφάς, καταφρονήσας ἐπὶ συμφέροντι ταύτης τῆς
own foods having-scorned for advantage its the
ἰδίας τρυφῆς, διὰ τόπων ἐλάσας ἐρήμων ὑπερέβη
own luxury through places having-driven deserted crossed
τοὺς αὐλῶνας ἐκείνους καὶ τὰς κλεισούρας δι' ὧν ἡ
the valleys those and the passes through which the
Κοίλη Συρία τῆς Κιλικίας χωρίζεται. καὶ κατελθὼν
Hollow Syria — from-Cilicia is-separated and having-come-down
ἐπιπόνως εἰς πόλιν τῆς Κιλικίας λεγομένην Ἀλέξανδρον
laboriously to city — of-Cilicia called Alexander
(μεγίστη γὰρ ἔκθλιψις ἐν τοῖς τόποις ἐκείνοις τῷ
greatest for crushing in the places those to-the
στρατοπέδῳ γέγονε διὰ τὸ στενόπορον καὶ τὸ
army happened because-of the narrowness and the
ἀπότομον τῶν πετρῶν καὶ τὸ συνεχὲς τῶν κρημνῶν),
steepness of-the rocks and the continuity of-the cliffs
ἐκεῖσε τὴν παρεμβολὴν καὶ τὸν χάρακα πήγνυσι. καὶ
there the camp and the palisade fixes and
οὕτω διελθὼν τὴν χώραν ἐκείνην, καὶ τὸν Ταῦρον
so having-passed-through the land that and the Tauros
τὸ ὄρος πανστρατιᾷ ὑπερβάς, εἰσβάλλει τῇ Ῥωμαίων.
the mountain with-whole-army having-crossed invades the of-Romans(-land)
ἐντυχόντες δ' ἀθρόον οἱ στρατευόμενοι τῷ κρυμῷ καὶ
having-met but all-at-once the(-men) campaigning the frost and
τῇ συστροφῇ τῆς ἄγαν ψυχρότητος, ἐκ τόπων θερμῶν
the gathering of-the excessive cold from places hot
ἀναγόμενοι (περὶ τὸ τέλος ἦν ὁ δεκέμβριος μήν), πολλῆς
being-led-up about the end was the December month much
ᾔσθοντο τῆς δριμύτητος, ὁπότε συνέβη καὶ ἵππους καὶ
they-felt the bitterness when it-happened also horses and
ἡμιόνους καὶ ἀνθρώπους, ὅσοι μὴ εὐσαρκοῦντες ἦσαν
mules and men as-many-as not well-fleshed were

ἢ μὴ εὐειματοῦντες, τῷ ἀθρόῳ τῆς ψύξεως ἀποψῦξαι
or not well-clothed by-the suddenness of-the cold to-die
καὶ τῆς ὁδοῦ προβεβλῆσθαι θέαμα οἴκτιστον.
and of-the road to-be-thrown-before sight most-pitiful
120 Τότε κἀγὼ περὶ στενωπὸν τοῦ Ταύρου ὄρους ἄφυκτον
then and-I about defile of-the Tauros mountain inescapable
διέφυγον κίνδυνον. ὁ γὰρ ἵππος εἰς ὃν ἐπωχούμην,
escaped danger the for horse on which I-was-riding
προεστενοχωρημένος ὢν ἐκ πάθους λυκοεντερικοῦ
having-been-straitened-before being from ailment wolf-gut
λεγομένου, ὀκλάσας τι μικρὸν τοὺς ἐμπροσθίους,
called having-sunk some little the forelegs
ἔσχε με καταβάντα τούτου αὐτίκα διὰ τοῦ δεξιοῦ
caused me having-dismounted from-it at-once by the right
μέρους· ἐν ἀριστερῷ γὰρ οὐκ ἦν διὰ τὸ κρημνὸν
side on left for not it-was because-of the cliff
ἀποτέμνεσθαι μέγιστον. ὡς δὲ ἀνέστησα τοῦτον τῷ
to-be-cut-off greatest when but I-raised it with-the
ῥυτῆρι νύξας, εὐθὺς διατιναξάμενος αὐτόματος
rein having-pricked straightway having-shaken-itself of-its-own-accord
δι᾽ ἑαυτοῦ τῷ κρημνῷ ἑαυτὸν κατηκόντισεν. ἐγὼ
by itself to-the cliff itself hurled I
δὲ μείνας ὀρθὸς δόξαν μὲν τῷ θεῷ τῆς τοῦ
but having-remained upright glory indeed — to-god for-the of-the
κινδύνου ἐλευθερίας ἀνέπεμψα, θαῦμα δὲ τοῖς πολλοῖς
danger freedom sent-up marvel but to-the many
προσενέσταξα, ὅπως, οἷον ἐκ προγνώσεως θειοτέρας,
instilled how as from foreknowledge more-divine
οὐκ ἐπέμεινα τοῖς νώτοις τοῦ ἵππου (ἦν γάρ τι
not I-stayed-on the back of-the horse was for somewhat
μικρὸν ὀκλάσας, ὅσον ἀναστῆναι καὶ πάνυ ῥᾴδιον)
little having-sunk so-as to-rise also very easy

ἀλλὰ καταβὰς ἐν τάχει οὐ συναπῆλθον τῷ κρημνῷ
but having-dismounted in haste not I-went-off-with the cliff
καὶ συνετρίβην ὡς τάχιστα. ἵσταντο γὰρ πάντες
and was-crushed as quickly-as-possible stood for all
θεώμενοι τὸ καινόν, ἐπεὶ τοῖς κατόπιν οὐκ ἐξῆν
watching the novelty since for-the(-men) behind not it-was-possible
περαιτέρω ἰέναι, τῆς ὁδοῦ ἐκείνης ἕνα καὶ μόνον
further to-go of-the road that one and only
συγχωρούσης διέρχεσθαι. διὰ τὸ πάνυ στενώτατον,
allowing to-pass-through because-of the very narrowest
ἕως ἑτέρου μοι προσαχθέντος ὑποζυγίου ἡ ἐπίβασις
until another to-me having-been-brought mount the mounting
ἐπιγέγονεν.
happened
Ἐξιοῦσι δ' ἡμῖν εἴς τι χωρίον τῆς τοῦ Ποδαντοῦ 121
going-out but to-us to some place of-the — of-Podandos
κλεισούρας ἐκτός, Τυψάριον κατονομαζόμενον, φήμη τις
pass outside Typsarion named report some
ἐπεπόλασε τὸν καταλελειμμένον ἐν Μελιτηνῇ στρατηγὸν ἐπὶ
spread the left in Melitene general for
τῇ φυλακῇ τῆς Ῥωμαίων γῆς αἰσχρῶς καὶ βουλεύσασθαι καὶ
the guard of-the of-Romans land shamefully both to-have-planned and
τὰ κατὰ τὸν στρατὸν οἰκονομῆσαι, καὶ τοσοῦτον ὅτι
the(-things) concerning the army to-have-managed and so-much that
περ οἱ πολέμιοι διελθόντες τὴν τοῦ Ἀμορίου πολιτείαν
indeed the enemies having-passed-through the — of-Amorion town
ἀνήρπασαν καὶ φόνον ἀνδρῶν ἀμύθητον πεποιήκασι καὶ
plundered and slaughter of-men untold made and
πανοικεσίᾳ ταύτην ἠνδραποδίσαντο. τῆς δὲ παρεμβολῆς
with-all-the-household it enslaved of-the but camp
αὐτῶν ἀφεθείσης ἐν τῇ τοῦ Χαλκέως τοποθεσίᾳ, αὐτὸς ἀπὸ
their having-been-left in the — of-Chalkeus locality he from

διαστήματος ὀλίγου συνηθροισμένην ἔχων τὴν στρατιὰν
distance little gathered having the army
ἐν τῷ τοῦ Τζαμαντοῦ ὀχυρώματι οὔτε ταύτην ἑλεῖν ἢ
in the — of-Tzamantos stronghold neither it to-take or
προσβαλεῖν παρετόλμησεν οὔτε τῷ Ἀμορίῳ προσβοηθῆσαι,
to-attack ventured nor — to-Amorion to-help
ὅτι μὴ μᾶλλον οἱ Τοῦρκοι τῷ Τζαμαντῷ προσεγγίσαντες
except that rather the Turks — to-Tzamantos having-approached
ἐν τῷ ἐπανιέναι πολλοὺς μὲν τῶν ἐπεξιόντων Ῥωμαίων
in the to-return many indeed of-the sallying Romans
ἀνεῖλον, τοὺς δ' ἄλλους εἰς τὰ ἐρυμνότατα τοῦ κάστρου
killed the but other into the most-fortified(-parts) of-the fort
κατέκλεισαν. ἀνιαθεὶς δὲ ὁ βασιλεύς, καὶ πλέον τι
shut-up having-been-grieved but the emperor and more something
ποιῆσαι μὴ δυνηθεὶς διὰ τὸ τοῦ χειμῶνος ἐπαχθὲς
to-do not having-been-able because-of the of-the winter oppressiveness
καὶ ἀσύμφορον, τὸ μὲν μισθοφορικόν, καὶ ὅσοι τῆς
and unprofitableness the indeed mercenary(-force) and as-many-as of-the
ἑσπερίας μερίδος ἐτύγχανον, εἰς παραχειμασίαν διέδωκεν,
western division were into wintering dispersed
αὐτὸς δὲ μετὰ τῶν σωματοφυλάκων καὶ Βυζαντίων
he but with the bodyguards and Byzantines
καὶ τῶν οἰκοφυλακούντων ἐν βασιλείοις εἰς τὴν
and the(-men) keeping-house in palace into the
βασιλεύουσαν εἰσελήλυθε περὶ ἀκμὴν τοῦ χειμῶνος ὄντος·
reigning-city entered about peak of-the winter being
πρὸς τῷ τέλει γὰρ ἦν ὁ ἰαννουάριος μήν.
at the end for was the January month
122 Διαγαγὼν τοίνυν ἐν τῇ τῶν πολιτικῶν πραγμάτων
having-spent therefore in the of-the civic affairs
διοικήσει χρόνον τινά, καὶ τιμὰς εἴς τινας τῶν
administration time some and honors to some of-the

συγκλητικῶν ποιησάμενος, καὶ τὰς ἐτησίους δωρεὰς αἳ
senators having-made and the annual gifts which
τοῖς συγκλητικοῖς ἀξιώμασι προσήρτηντο ποιησάμενος,
to-the senatorial dignities had-been-attached having-made
καὶ οὐδὲ τὰς πασχαλίους ἡμέρας περιμείνας εἰς τὸ
and not-even the Easter days having-waited-for in —
Βυζάντιον, εἰς τὸν ἀντιπέρας κείμενον βασιλικὸν οἶκον
Byzantium to the opposite lying imperial house
καὶ λεγόμενον τῶν Ἡρίων, ἀπέπλευσεν, ὁρμὴν ἔχων εἰς
and called of-the Heria sailed-off impulse having to
τὴν ἑώαν αὖθις στρατοπεδεύσασθαι. καὶ τοῖς Τούρκοις
the east again to-encamp and the Turks
ἐπεξελθεῖν. ἐπισυνέβη γὰρ καί τι τῶν ἀτόπων,
to-attack happened-besides for also something of-the strange(-things)
πρὸς ἐκστρατείαν καλοῦν τὸν ἄνακτα σπουδαιότερον.
to campaign calling the lord more-urgently
ἀνὴρ γὰρ Λατῖνος ἐξ Ἰταλίας τῷ βασιλεῖ προσελθών,
man for Latin from Italy to-the emperor having-come
Κρισπῖνος ὀνόματι, πρὸς τὴν ἑώαν προαπεστάλη,
Crispin by-name to the east was-sent-ahead
παραχειμάσων ἐκεῖσε μετὰ τῶν συνδιαπλευσάντων
going-to-winter there with the having-sailed-with
αὐτῷ καὶ συναφικομένων ὁμογενῶν. δόξας δὲ μὴ
him and having-arrived-with kinsmen having-thought but not
κατ᾽ ἔφεσιν τιμηθῆναι παρὰ τοῦ βασιλέως καὶ
according-to desire to-have-been-honored by the emperor and
δωρεὰς ἀποχρώσας λαβεῖν ἀποστασίαν ἐσκόπησε, καὶ
gifts sufficient to-have-received revolt considered and
αὐτίκα τοὺς συναντῶντας φορολόγων τε καὶ λοιποὺς
at-once the(-men) meeting(-him) of-tax-collectors both and others
σκυλεύειν καὶ διαρπάζειν ἤρξατο, καὶ πάντα δρᾶν ὅσα
to-strip and to-plunder began and all to-do as-many-as

δεσπότου ἀποπτύουσι χαλινούς. φόνον δὲ Ῥωμαίων οὐδένα
of-master spit-out bridles slaughter but of-Romans none
εἰργάσατο. διὸ καὶ κατὰ βασιλικὴν ἐντολὴν (ἐμεμαθήκει
worked wherefore also by imperial command had-learned
γὰρ πάντα ὁ βασιλεύς) πολλοὶ τῶν στρατιωτῶν
for all-things the emperor many of-the soldiers
πρὸς μάχην τούτῳ συνήντησαν. πάντες δὲ τῆς τούτου
to battle him met all but by-the his
ῥομφαίας ἠττήθησαν. τελευταῖον δὲ στρατῷ μεγάλῳ τῶν
sword were-defeated last but with-army great of-the
ἑσπερίων πέντε ταγμάτων ἐπιστρατεύσας κατ᾽ αὐτοῦ
western five regiments having-marched against him
ἐκ τῶν Ἀρμενιακῶν θεμάτων, ἐν ᾧ παρεχείμαζον,
from the Armeniakon themes in which they-were-wintering
ὁ τὴν ἡγεμονίαν τούτων ἐπιτραπεὶς Σαμουὴλ
the(-one) the command of-them having-been-entrusted Samuel
βεστάρχης ὁ Ἀλουσίανος λεγόμενος, καὶ περὶ ὄρθρον
vestarches — Alousianos called and about dawn
ἐπιτεθεὶς τούτῳ ἠρεμοῦντι καὶ ἀναπαυομένῳ κατὰ τὸ
having-attacked him resting and reposing according-to the
εἰωθὸς τῆς ἀναστασίμου ἡμέρας καὶ μεγάλης κυριακῆς
custom of-the resurrection day and great of-Sunday
ἐφισταμένης, ἔπραξε μὲν γενναῖον οὐδέν, ἔπαθε δὲ μᾶλλον
being-at-hand did indeed noble nothing suffered but rather
πάνυ κακῶς. ἐμπεσόντες γὰρ οἱ στρατιῶται τοῖς τῶν
very badly having-fallen-in for the soldiers with-the of-the
σκηνῶν καλωδίοις, καὶ συμπλακέντες αὐτοῖς, γνῶσιν τοῖς
tents ropes and having-been-entangled with-them knowledge to-the
Φράγγοις τῆς ἐπιβουλῆς πεποιήκασιν. οἳ δὲ σταθηρῶς
Franks of-the plot made they but steadfastly
ἑαυτοὺς ἀνακαλεσάμενοι, καὶ πρὸς ἄμυναν τραπέντες
themselves having-recovered and to defense having-turned

εὐθύς, οὐ μοχθηρῶς τοὺς Ῥωμαίους τῆς παρεμβολῆς
at-once not feebly the Romans from-the camp
ἀπεώσαντο. ταχὺ δὲ τῶν ἵππων ἐπιβάντες, ὡς εἶχεν
thrust-off quickly but the horses having-mounted as had
ἕκαστος σπουδῆς καὶ παρασκευῆς, καὶ κατόπιν ἐλάσαντες
each of-haste and of-preparation and behind having-driven
πολλοὺς μὲν ἀνεῖλον, ἄλλους δὲ ζωγρήσαντες ἔλαβον.
many indeed killed others but having-taken-alive took
τότε δὴ προκαθίσας ὁ τῶν Λατίνων ἐξάρχων οὐκ
then indeed having-sat-down-before the of-the Latins leader not
ἄκαιρον οὐδ' ἀνεύλογον δημηγορίαν συνήγαγε· κατέγνω
untimely nor unreasonable harangue gathered condemned
γὰρ τῶν Ῥωμαίων ἀσέβειαν, ὅτι ἐν τοιαύτῃ φοβερᾷ καὶ
for of-the Romans impiety that on such fearful and
θαυμασίᾳ ἡμέρᾳ, ἥτις ἑορτῶν ἐστὶν ἑορτή, τὰς χεῖρας
marvelous day which of-feasts is feast the hands
κατὰ Χριστιανικῶν αἱμάτων ἐξώπλισαν, μὴ ἐφειμένον
against Christian bloods armed not permitted
ὂν ἐν ταύτῃ τοῖς ὀρθοδόξοις μηδὲ κατὰ ἀλλοφύλων
being on it for-the orthodox even against foreigners
ἐπεξιέναι καὶ τὴν χάριν ὑβρίζειν τῆς ἀναστάσεως. ὅμως
to-sally and the grace to-outrage of-the resurrection nevertheless
πράως τούτοις προσενεχθεὶς καὶ συμπαθείας ἀξιώσας
gently to-them having-behaved and of-sympathy having-deemed-worthy
ἀπέλυσε. τοὺς δὲ τραυματίας ἐν ταῖς κώμαις ἀπέθετο,
released the but wounded in the villages he-laid-down
τὴν ἐπιμέλειαν αὐτῶν ἐπιτρέψας ἀπαραλόγιστον.
the care of-them having-entrusted undeceived

Crispin submitted and was later exiled. Romanos fought the Turks near Larissa, won, and executed the captives and their chief. When he planned to send the army home, Attaleiates alone spoke against it and urged him to take Chliat. He agreed, then divided his army, giving the stronger part to Philaretos. Philaretos's men fled at Anthiai without fighting, and the Turks crossed back over the Euphrates and fell on Ikonion.

124 Ταῦτα τοῦ βασιλέως μεμαθηκότος, κατήπειξαν αὐτὸν
these-things the emperor having-learned urged him
πρὸς τὴν ἔξοδον. γενόμενος οὖν ἐν τῇ ἐπισκέψει τῶν
to the departure having-been then in the inspection —
Μελαγγείων, καὶ κατὰ μικρὸν ἀθροίζων τὴν στρατιάν,
of-Melangeia and by little gathering the army
ὁπότε κἀμὲ πρὸς τὴν αὐτὴν λειτουργίαν μὴ θέλοντα ἐλθεῖν
when also-me to the same service not wishing to-come
κατηνάγκασε τῷ τῶν πατρικίων τετιμηκὼς ἀξιώματι,
he-compelled with-the of-the patricians having-honored dignity
μέχρι τοῦ Δορυλαίου τὴν φορὰν ἐποιήσατο. ἐκεῖσε δὲ
as-far-as — Dorylaion the course made there but
τρεῖς ἡμέρας προσκαρτερήσαντος, πρέσβεις ἦκον ἐκ τοῦ
three days having-persevered envoys came from —
Κρισπίνου, τὴν ὁμολογίαν τῆς δουλώσεως ἐκείνου σαφῶς
Crispin the profession of-the submission his clearly
ἀπαγγέλλοντες καὶ τὴν ἀπολογίαν τῆς ἀντιστάσεως. καὶ
announcing and the defense of-the resistance and
ἁπλῶς ἀμνηστίαν ἐπιζητήσας τῶν πρὶν γενομένων, ὡς
simply amnesty having-sought of-the(-things) before having-happened as
αὐτοῦ μὴ θέλοντος πολεμεῖν οἱ Ῥωμαῖοι προσυπαντήσαντες
he not wishing to-fight the Romans having-met-first
κατηνάγκασαν, ἔτυχε τῆς αἰτήσεως, τοῦ βασιλέως
compelled he-obtained the request the emperor

περιχαρῶς δεξαμένου τὴν τοιαύτην ὁμολογίαν διὰ
joyfully having-received the such profession because-of
τὸ τοῦ ἀνδρὸς γενναῖον καὶ πρὸς τὰς πολεμικὰς
the of-the man nobility and for the military
πράξεις καὶ διατάξεις ἐπίδοξον· καὶ γὰρ καὶ Τούρκων
deeds and dispositions renown and for also of-Turks
προεντυχὼν πληθύϊ πολλῇ μεγάλας τὰς ἀνδραγαθίας
having-met-before multitude great great the brave-deeds
ἐκ χειρὸς ἀπειργάσατο. προϊόντι δὲ τῷ βασιλεῖ ἐκεῖθεν
from hand accomplished advancing but the emperor from-there
μεθ' ἡμέρας τινὰς ἀπαντῶν καὶ δουλοπρεπῶς ἅπαντα
after days some meeting and servilely all
ποιησάμενος συνείπετο τῷ βασιλεῖ, καὶ αὐτὸς ὀλίγους
having-done followed the emperor and himself few
τινὰς τῶν οἰκείων στρατιωτῶν ἐπαγόμενος· τοὺς γὰρ
some of-the own soldiers bringing the for
ἄλλους κατέλιπεν εἰς ὅπερ ἐπεκράτει τοῦ Μαυροκάστρου
others he-left in which held — of-Maurokastron
φρούριον, εἰς ἕνα τῶν Ἀρμενιακῶν τόπων ἐπὶ λόφου
fortress in one of-the Armeniakon places on hill
κείμενον ὑψηλοῦ καὶ δυσκατεργάστου. διαβληθεὶς δὲ
lying lofty and hard-to-take having-been-slandered but
πρὸς τὸν βασιλέα ὡς μελετῶν καὶ αὖθις ὠμόν τι καὶ
to the emperor as planning also again savage something and
ἄπιστον κατὰ τὴν οἰκείαν φυλήν (φύσει γὰρ ἄπιστον
faithless according-to the own race by-nature for faithless
τὸ γένος τῶν Φράγγων), καὶ ὅτι οὐχ ἡ προαίρεσις
the race of-the Franks and that not the choice
ἀλλ' ἡ τῶν ἑταίρων αὐτοῦ ἀπουσία τὴν ἀναβολὴν ποιεῖ
but the of-the companions his absence the postponement makes
τοῦ μὴ ἐπιθέσθαι τῷ βασιλεῖ, πολλὰ καταγνωσθεὶς
of-the not to-attack the emperor much having-been-condemned

ὡς ἀχάριστος καὶ θεομισής, ἐκεῖθεν ἀπεπέμφθη τοῦ
as ungrateful and god-hated from-there was-sent-away from-the
στρατοπέδου, μὴ καθαρῶς ἀπελεγχθείς, ὑπονοηθεὶς δὲ
camp not clearly having-been-convicted having-been-suspected but
διὰ τὴν προτέραν ἀπόνοιαν καὶ τὸ παρὰ Νεμίτζου
because-of the former madness and the by Nemitzos
τινὸς τῶν ἐπισήμων κατηγορηθῆναι σφοδρῶς. οἱ δ'
some of-the notables to-have-been-accused vehemently the but
ἑταῖροι τούτου μαθόντες τὸ γεγονός, ἄραντες
companions his having-learned the(-thing) having-happened having-set-out
ἐκ τοῦ φρουρίου τὴν Μεσοποταμίαν κατήλασαν, πολλὰ
from the fortress — Mesopotamia overran many
δεινὰ τοῖς ἐκεῖσε δι' ἐπιδρομῆς ἐργαζόμενοι.
terrible(-things) to-the(-men) there through raid working
125 Ἐπεὶ δ' ὁ βασιλεὺς μετὰ πλήθους ἦκεν εἰς τὴν
when but the emperor with multitude came to —
Καισάρειαν, εἶτα καὶ τῇ Λαρίσσῃ προσέμιξε, καὶ ἡ φήμη
Caesarea then also — with-Larissa joined and the report
τὴν φήμην φθάνουσα ἦν ὡς Τούρκων πλῆθος ὅσον
the report outstripping was that of-Turks multitude as-great-as
οὔπω ποτὲ πρὸ διαστήματος οὐκ ὀλίγου λεηλατεῖ καὶ
not-yet ever before distance not little plunders and
κατατρέχει τὴν χώραν, ἐξέπεμψε μὲν μέρος τι τῆς
overruns the land he-sent-out indeed part some of-the
στρατιᾶς κατ' αὐτῶν, μηδὲν δὲ ἀνύσας, ἀλλὰ φεῦγον
army against them nothing but having-accomplished but fleeing
ὑποδεξάμενος τὸ πεμφθέν, συντεταγμένως τῆς
having-received the(-force) sent in-order the(-road)
πρόσω φερούσης εἶχετο. ἅμα δὲ τῷ καταλαβεῖν
forward leading held at-the-same-time but with-the to-reach
τὸν τῆς παρεμβολῆς τόπον καὶ τὸν βασιλέα τὴν βασιλικὴν
the of-the camp place and the emperor the imperial

σκηνὴν ὑπελθεῖν, μὴ τάφρου, μὴ χάρακος περιστάντων,
tent to-enter not ditch not palisade standing-round
ἀλλ' ἐν ὄχλῳ τῆς τῶν σκευῶν ἀποθέσεως τοῦ στρατοῦ
but in crowd of-the of-the baggage unloading the army
καθεστῶτος, ἐφάνησαν οἱ πολέμιοι τὰ ἐρυμνότατα τῶν
being appeared the enemies the most-strongly-fortified of-the
τόπων κατέχοντες καὶ τὰς ἀκρολοφίας αὐτάς. οὕτω γὰρ
places holding and the hilltops themselves so for
ἔλαχεν ὁ τόπος ἐκεῖνος θέσεως, ὡς τὴν μὲν πεδιάδα τοὺς
obtained the place that position that the indeed plain the
Ῥωμαίους κατέχειν, εἰς δὲ τοὺς περικυκλοῦντας βουνοὺς
Romans to-hold to but the encircling hills
περικεχύσθαι τοὺς ἐναντίους, λανθάνοντας πρώην ἐκ
to-have-been-poured-round the opponents escaping-notice before from
τοῦ κατόπιν αὐτῶν ἀποκρύπτεσθαι. βοῆς δὲ γενομένης,
the behind them to-be-hidden shout but having-happened
καὶ τοῦ βασιλέως μὴ ἐκδεδωκότος ἑαυτὸν εἰς ἀνάπαυσιν,
and the emperor not having-given himself to rest
ἀλλὰ τὸ ἐννάλιον σαλπίσαι προστάξαντος, προῄεσαν κατὰ
but the war-call to-sound having-ordered advanced in
τάξιν οἱ στρατιῶται, μηδὲ τῆς οὐραγίας ἔτι καταλαβούσης
rank the soldiers not-even the rearguard yet having-arrived
διὰ τὸ σχολαίως βαδίζειν εἰς φυλακὴν καὶ διάσωσιν
because-of the slowly to-march for guard and safety
τῶν ἐπαγομένων τὴν ἀγοράν. ἀρθέντων οὖν τῶν
of-the(-men) bringing the market having-been-raised then the
σημείων καὶ κατὰ φάλαγγας τῆς στρατιᾶς συνταχθείσης,
standards and by phalanxes the army having-been-drawn-up
τοῦ βασιλέως προάγοντος προέκυψαν μὲν τῶν ἐναντίων
the emperor leading-forward peeped-out indeed of-the opponents
πολλοί, προλαβόντων δὲ τῶν ταγμάτων ἓν μὲν τῶν
many having-gone-ahead but of-the regiments one indeed of-the

Λυκαόνων λεγόμενον, ἓν δὲ τῶν ἑσπερίων ἀριθμῶν, καὶ
Lykaonians called one but of-the western numeroi and
τοῦ συνήθους θρασύτερον κατὰ τῶν ἐναντίων ἐλάσαντα
than-the usual more-boldly against the opponents having-driven
πρὸς φυγὴν εὐθὺς ἀπιδεῖν κατηνάγκασαν. προβιβάζοντος
to flight at-once to-look-away compelled leading-forward
δὲ τοῦ βασιλέως τὴν λοιπὴν στρατιὰν καὶ τὸ λοιπὸν
but the emperor the remaining army also the remaining
τῶν πολεμίων πλῆθος τοῖς φεύγουσι συνδιέφυγεν. ἐπεὶ
of-the enemies multitude with-the fleeing fled-along when
δὲ κατὰ νώτων τῶν ἐναντίων ἐλαύνοντες οἱ Ῥωμαῖοι,
but on backs of-the opponents driving the Romans
προηγουμένου καὶ μισθοφορικοῦ τῶν Σκυθῶν, παρῆλθον
leading also mercenary(-force) of-the Scythians passed
τοὺς μηνοειδεῖς ἐκείνους ἀγκῶνας καὶ κατόπιν ἐγένοντο,
the crescent-shaped those bends and behind became
λόχος Τουρκικὸς καθήμενος ἐν ἀδήλῳ τῇ Ῥωμαϊκῇ
ambush Turkish sitting in hidden(-place) to-the Roman
παρεμβολῇ προσεπέλασεν, ἐν οὐκ ὀλίγοις ἀνδράσι
camp approached in not few men
παραμετρούμενος· οὓς οἱ παραλειφθέντες εἰς φυλακὴν
measured whom the having-been-left for guard
στρατιῶται δεξάμενοι, πρὸ πάντων δ' οἱ Φράγγοι, καὶ
soldiers having-received above all but the Franks and
ἀγχεμάχως συμπλακέντες καὶ ἱκανῶς ἀνθαμιλληθέντες
hand-to-hand having-engaged and sufficiently having-contended
ἐτρέψαντο, μηδενὸς τῶν ἱσταμένων ταγμάτων Ῥωμαϊκῶν
routed none of-the standing regiments Roman
τοῖς Φράγγοις μέχρι καὶ ἁπλῆς ὁρμῆς παραβοηθήσαντος.
the Franks as-far-as also single charge having-helped
ἐν τούτῳ δὲ ὑπέστρεψεν ὁ βασιλεὺς τῆς διώξεως·
in this but returned the emperor from-the pursuit

πρὸς ἑσπέραν γὰρ ἦν, ἐπεὶ καὶ ὁ πόλεμος περὶ δείλην
toward evening for it-was since also the war about evening
ὀψίαν συνίστατο, ἠρέμα τοῦ στρατοπέδου βαδίζοντος
late was-joined quietly the army marching
πρότερον καὶ περιέποντος τοὺς ἀσθενεστέρους καὶ
before and taking-care-of the weaker and
πεζοὺς διὰ τὴν τοῦ πολέμου προσδοκίαν, ὡς παρὰ
foot-soldiers because-of the of-the war expectation as by
τῶν σκοπῶν ἀπηγγέλλετο. τῇ δ' ἐπαύριον δημοσίᾳ
the scouts was-reported on-the but next(-day) publicly
καθίσας τοὺς ἑαλωκότας τῶν πολεμίων κατεῖδε καὶ
having-sat the captured of-the enemies he-viewed and
τῇ τελευταίᾳ ψήφῳ τούτους παραδοθῆναι προσέταξε,
to-the last vote them to-be-handed-over ordered
μηδενὸς τὸ παράπαν φεισάμενος, μήτ' αὐτοῦ τοῦ τὴν
no-one the altogether having-spared even himself the(-one) the
ἡγεμονικὴν αὐχοῦντος λαμπρότητα. ὃς καὶ ἀπὸ τῆς
leader's boasting splendor who also from the
ἐσθῆτος (λαμπρειμονῶν γὰρ ἦν ἐν τοῖς ὅπλοις καὶ τῇ
dress splendidly-clad for he-was in the arms and the
ἄλλῃ σκευῇ) ἐμαρτυρεῖτο τοιοῦτος, εἰ καὶ πολλῶν λύτρων
other equipment was-attested such if also of-many ransoms
ἑαυτὸν ὤνιον ποιήσασθαι ἐπηγγέλλετο, καὶ Ῥωμαίους
himself purchasable to-make he-offered and Romans
αἰχμαλώτους ἑαυτοῦ ἀντιδοῦναι τῷ πλήθει πολλούς.
captives for-himself to-give-in-exchange in-the multitude many
Τριημερεύσας δ' ἐν τῇ παρεμβολῇ ὁ βασιλεύς, τῷ 127
having-spent-three-days but in the camp the emperor with-the
προτερήματι τούτῳ κόρον δῆθεν λαβὼν ἢ μεγαλαυχῶν,
success this satiety supposedly having-taken or boasting
πολλὴν ἄδειαν δέδωκε τοῖς ἐναντίοις εἰς τὴν ἀποφυγήν,
much license gave to-the opponents for the escape

ὥστε μηδὲ τῆς λείας ἀποσχέσθαι, ἀλλὰ καὶ ταύτην
so-that not-even from-the booty to-hold-off but also it
ἐλαύνειν καὶ ἀλύπως τὸν δρόμον καὶ περιεσκεμμένως
to-drive and painlessly the course and circumspectly
ποιεῖν. ὡς δ' ὁ βασιλεὺς ἀπαναστὰς ἐκεῖθεν πανστρατιᾷ
to-make when but the emperor having-risen from-there with-whole-army
κατόπιν ἐβάδιζε, διεπεραιώθησαν τὸν Εὐφράτην ποταμὸν
behind marched crossed the Euphrates river
οἱ πολέμιοι. ὁ δέ, ὡς ἀπὸ διαστήματος μιᾶς ἡμέρας ἢ
the enemies he but as from distance of-one day or
καὶ πλείονος τῆς Μελιτηνῆς στρατοπεδευσάμενος, βουλὴν
also more — of-Melitene having-encamped counsel
βουλεύεται λίαν ἀγεννῆ καὶ ἐπίκρημνον· καὶ συνέστησεν
counsels very ignoble and precipitous and established
ἤδη ταύτην, πάντων συνεπινευσάντων τὸ τοιοῦτον
already it all having-assented-to the such
προβούλευμα διὰ τὸ λύειν τὴν στρατιὰν καὶ τὴν
preliminary-resolution because-of the to-dissolve the army and the
ἐπ' οἴκου ἀπαναχώρησιν ἐπαγγέλλεσθαι. καὶ ἡ σκῆψις,
to home withdrawal to-announce and the pretext
ὅτι περ οἱ πολέμιοι προτρέχοντες εἰς τὰ πρόσω, καὶ
that indeed the enemies running-ahead into the(-parts) forward and
μηκέτι συνελθεῖν εἰς χεῖρας τοῖς Ῥωμαίοις ἰσχύοντες,
no-longer to-come into hands with-the Romans being-strong
ἀκατάληπτοι πάντως εἰσί, καὶ εἰς κενὸν ὁ δρόμος τοῖς
uncatchable wholly are and into vain the course for-the
διώκουσιν ἡμῖν παραγίνεται. καὶ διὰ τοῦτο δέον ἐστὶν
pursuing us happens and because-of this needful it-is
ἀπόμοιραν περιλειφθῆναι Ῥωμαίων πρὸς ἀντιπαράταξιν
detachment to-be-left of-Romans for counter-array
ἀξιόχρεων, τὸν δὲ βασιλέα μετὰ τῆς λοιπῆς ὑποστρέψαι
adequate the but emperor with the remaining to-return

δυνάμεως καὶ πρὸς τὰς οἰκίας ἕκαστον ἀποπέμψαι,
force and to the homes each to-send-away
κἀκεῖνον εἰσελθεῖν εἰς τὴν βασιλεύουσαν, ὡς ἂν
and-him to-enter into the reigning-city so-that —
διαναπαυθεὶς ὁ στρατὸς ἰσχυρότερος ᾖ πρὸς τὸ
having-rested the army stronger may-be for the
ἐπιὸν ἔτος, πολέμου τυχὸν γενομένου ῥαγδαιοτέρου δι᾽
coming year war perhaps having-become more-violent through
ἐπιδημίας τοῦ τῶν ἀλλοφύλων ἐξάρχοντος.
arrival of-the of-the foreigners leader
Ἐπεὶ δὲ τουτὶ τὸ ψήφισμα ἐκυρώθη, ἀνάμνησις γέγονε τῷ 128
when but this the decree was-ratified recollection happened to-the
βασιλεῖ τῶν τοῦ στρατοπέδου κριτῶν. καὶ μετακαλεσάμενος
emperor of-the of-the camp judges and having-summoned
ἡμᾶς μόνους ἐν τῷ δειλινῷ, τήν τε βουλὴν ὡς εἶχεν
us alone in the evening the both counsel as it-was
ἀνεκοινώσατο, καὶ γνώμην ἡμετέραν περὶ ταύτης ἐζήτησε.
he-communicated and opinion our about it sought
καὶ οἱ μὲν ἄλλοι τῶν δικαστῶν, μαρτυρούσης μοι τῆς
and the indeed other of-the judges bearing-witness for-me the
ἀληθείας αὐτῆς (οὐ γὰρ θρυπτόμενός τι λέξω ἢ
truth itself not for preening anything I-will-say or
ἐξαίρων ἐμαυτόν, ἢ σεμνόν τι καὶ παρὰ τῶν ἀνθρώπων
exalting myself or solemn anything also from the men
θηρεύων ἔπαινον· οὐδὲ γὰρ ἐμαυτῷ σύνοιδά τι
hunting praise not-even for in-myself I-am-conscious-of anything
ζηλωτόν τι καὶ περιδέξιον οὐδ᾽ ὑπεροχῆς τι μέτριον
enviable anything and dexterous nor of-eminence any moderate
λείψανον· ἀγαπητὸν γὰρ εἰ καὶ τοῖς ἐσχάτοις τῶν
remnant welcome for if also with-the last of-the(-men)
λόγου ποσῶς μετεχόντων συνταττοίμην) — οὗτοι οὖν
of-speech in-some-way sharing I-should-be-ranked these then

οἱ τῆς ἐμῆς τάξεως καὶ κοινωνίας ἢ ἑταιρίας
the(-men) of-the my rank and fellowship or companionship
συνεπαινέται καὶ αὐτοὶ τοῖς προβεβουλευμένοις
fellow-praisers also themselves to-the(-things) previously-resolved
γεγόνασι, μόνος δ᾽ αὐτὸς ἐσιώπων ἱστάμενος. ὁ δὲ
became alone but myself was-silent standing the but
βασιλεὺς συμμετρησάμενος τὸ ἠρεμαῖον τῆς κατ᾽ ἐμὲ
emperor having-measured the quietness of-the regarding me
παραστάσεως, λόγον ἐξηρημένως ἀπήτησέ με, καὶ τί
bearing account specially demanded-of me and what
μοι τὸ παριστάμενον περὶ τούτων ἐστίν. αὐτὸς δὲ
to-me the(-thing) occurring about these-things is I but
τερατευσάμενος πρότερον ὡς οὐδέν τι τοῦ πλήθους ἐκτὸς
having-made-a-show first that nothing at-all of-the multitude besides
δυναίμην εἰπεῖν οὐδὲ καρτερώτερος ὀφθῆναι, κἂν τι
I-could say nor stronger to-be-seen even-if anything
δοκιμάσω, πάντως ἀποδοκιμασθήσομαι τῆς τῶν πλειόνων
I-approve wholly I-shall-be-rejected the of-the majority
ψήφου ἐπικρατούσης, ἀεὶ μετὰ πολλῆς ὁ βασιλεὺς τῆς
vote prevailing always with much the emperor the
ἐπιμονῆς καὶ τῆς ἀμεταθέτου ἐνστάσεως προετρέψατό
persistence and the unchangeable insistence urged
με τὸ κατὰ λογισμὸν ἀδεῶς ἀνειπεῖν, τὸν θεὸν
me the(-thing) according-to reasoning fearlessly to-speak-out — god
ἐπιστήσας μοι μάρτυρα. μεταβαλὼν οὖν μὴ ἀρέσκειν μοι
having-set for-me as-witness having-changed then not to-please me
τὴν βουλὴν ταύτην εὐθὺς ἐκ προοιμίων ἀπήγγειλον,
the counsel this straightway from preamble I-announced
προσθεὶς ὡς οἱ πολέμιοι οὐ παντελῆ δυσκληρίαν καὶ
having-added that the enemies not complete misfortune and
καταστροφὴν ἐν τῷ πολέμῳ ἐδέξαντο. ἡ γὰρ ἑσπέρα ταχὺ
overthrow in the war received the for evening quickly

καταλαβοῦσα διέσωσεν αὐτούς, καὶ τὸ ἐπὶ τρεῖς ἡμέρας
having-overtaken saved them and the for three days
ἀνεθῆναι τὴν δίωξιν τὸ δέος τούτοις ἀνεκαλέσατο.
to-have-been-relaxed the pursuit the fear for-them recalled
καὶ τοῦτο δῆλον ἔκ τε τοῦ μὴ καταλειφθῆναί τι
and this clear from both the not to-have-been-left anything
τῶν λαφύρων αὐτοῦ καὶ προεμπλακῆναι ἡμῖν
of-the spoils its and to-have-become-entangled-before with-us
παροδεύουσι, καὶ τοῦ τῶν ἑαλωκότων πλήθους, ὡς οὐκ
passing and of-the of-the captured multitude as not
ἦν ἐν τοῖς μάλιστα μηδὲ πρὸς τοὺς ἑκατὸν ἀποσῴζον
was among the most even to the hundred preserving
ἄνδρας· ὡς εἶναι δῆλον ὅτι τὸ στράτευμα τούτοις σχεδὸν
men so-as to-be clear that the army for-them almost
ἀνεπαισθήτως ἠκρωτηρίασται, ἐπεὶ τῷ ἔθνει τούτῳ οὐδὲν
imperceptibly has-been-docked since the nation this nothing
ἡ τοιαύτη ἧττα, καὶ ὅσαι ταύτῃ παραπλήσιαι, δουλῶσαι
the such defeat and as-many-as to-it similar to-enslave
δεδύνηνται· θᾶττον γὰρ ἑαυτοὺς ἀνακαλοῦνται οἱ
have-been-able more-quickly for themselves recover the(-men)
στρατευόμενοι, καὶ πάλιν εἰς μάχην ἀποκαθίστανται.
campaigning and again into battle are-restored
καὶ διὰ τοῦτο εἴ τις καταλειφθείη μοῖρα Ῥωμαίων,
and because-of this if any should-be-left portion of-Romans
ἀγεννεῖς ἐμφάσεις καὶ διαθέσεις αὐτίκα προσλήψεται, τῆς
ignoble appearances and dispositions at-once will-take-on of-the
τοῦ βασιλέως καὶ τῶν λοιπῶν στρατιωτῶν ἀπορραγεῖσα
of-the emperor and of-the remaining soldiers torn-from
συνόδου, ἐξόχως δ' ἀναθαρρήσουσιν οἱ πολέμιοι.
assembly exceedingly but will-take-courage the enemies

καὶ ὅσῳπερ ἡ δειλία τῶν Ῥωμαίων καθίκοιτο, τοσοῦτον
and by-as-much-as the cowardice of-the Romans should-come-down so-much
ἐκείνοις ἡ τόλμα προαπαντήσει· καὶ ῥᾳδίως τῶν ἡμετέρων
for-them the daring will-meet and easily of-the ours
περιγενήσονται, ἐπεὶ καὶ προεκπεφοβημένοι τυγχάνουσιν
they-will-prevail since also previously-frightened happen-to-be
οἱ Ῥωμαῖοι, καὶ μόνον αὐτοὺς ὁρᾶν τοὺς πολεμίους ποιεῖ
the Romans and only them to-see the enemies makes
ὅτε τὴν τοῦ κρατοῦντος ὁρῶσι μετ᾽ αὐτῶν γενναιότητα.
when the of-the ruler they-see with them nobility
καὶ εἴπερ ἐκείνους τρέψονται, ἄφυκτος ἡμᾶς καταλήψεται
and if-indeed those they-rout inescapable us will-overtake
κίνδυνος· οὐ γὰρ οὐ μελήσουσιν οἱ Τοῦρκοι μὴ οὐχὶ
danger not for not they-will-care the Turks — —
καταδραμεῖν καὶ ἡμῶν καὶ νίκην διαβόητον ἀπεργάσασθαι,
to-overrun also us and victory celebrated to-accomplish
διακεκομμένους εὑρηκότες καὶ διεσκορπισμένους τῇ πρὸς
cut-up having-found and scattered in-the toward
τὰ οἰκεῖα σπουδῇ. "καὶ ἅμα τίς ἡ ἀνάγκη"
the own(-homes) haste and at-the-same-time what the necessity
ἔφην, "ὦ βασιλεῦ, ἔτι τοῦ ἔτους περὶ ἀκμὰς τοῦ θέρους
I-said O emperor still of-the year about peaks of-the summer
ὄντος καταλιπεῖν τοὺς ἐναντίους εἰς τὴν Ῥωμαίων, καὶ
being to-leave the opponents in the of-Romans(-land) and
πρὸς ἀνέσεις καὶ ἀπολαύσεις ἑαυτοὺς ἐκδοῦναι, καὶ μὴ
to relaxations and enjoyments ourselves to-give-up and not
νῦν κακοπαθῆσαι, ἵν᾽ εἰς τὸ μέλλον εὐπαθῆσαι δυναίμεθα;
now to-suffer-hardship that in the future to-fare-well we-may-be-able
διὰ τί δὲ καὶ μὴ ἐκ πολιορκίας αἱρήσομεν τό τε
for what but also not by siege shall-we-take the both
ἄστυ τὸ Χλίατ καὶ τὰ ὑπὸ τούτου πολίχνια, ἵνα καὶ οἱ
town — Chliat and the under it little-towns that also the

στρατιῶται τῆς ἐκ τῶν λαφύρων ὠφελείας πλησθῶσι καὶ
soldiers of-the from the spoils profit may-be-filled and
προθυμότεροι γένωνται, καὶ τοῖς ἐναντίοις ἐπέλθῃ δέος, καὶ
more-eager may-become and on-the opponents may-come fear and
ἀντὶ πολεμίων αἱ τοιαῦται πόλεις Ῥωμαϊκὴν ἡγεμονίαν
instead-of enemies the such cities Roman rule
πλουτήσωσι, καὶ δυνάμεις ἐφιστάμεναι τὸ ἀντίπαλον
may-enrich and forces being-set-over the adversary
ἰσχυρῶς ἀποκρούσωνται, καὶ ἡ τῶν Τούρκων πάροδος
strongly may-repel and the of-the Turks passage
ἐκ διαστημάτων κατὰ μοίρας ἐρχομένων βραχείας
from distances in portions coming small
ἀνασταλῇ, καὶ μὴ ὁρμητήριον μᾶλλον καὶ ὀψωνιασμὸν ἐν
may-be-checked and not base rather and provisioning in
τούτοις εὑρίσκῃ ἀλλὰ πολεμητήριον ἀτεχνῶς, καὶ ἡ διὰ
these may-find but fortress-of-war simply and the through
τῆς Μεσοποταμίας ὁδὸς τούτοις ἀνεπίβατος γένηται."
— Mesopotamia road for-them untrodden may-become
Ταῦτ' εἰπόντος μου πρὸς τὸν βασιλέα, εἰσῄει τούτῳ μέχρι 131
these-things having-said I to the emperor entered him to
βάθους ὁ λόγος ὥσπερ τις σπόρος εἰς εὔγεω καὶ ἐρίβωλον
depth the speech as some seed into fertile and rich-soiled
γῆν, καὶ μεταθέμενος εὐθὺς τῆς προσωτέρω φερούσης
land and having-changed straightway the(-road) further leading
ἥψατο, ἕως τὸν Εὐφράτην διαπεραιωθεὶς τοὺς πολεμίους
he-took until the Euphrates having-crossed the enemies
εἰς τὰ σφέτερα βαδίζειν παρέπεισε· περὶ τὰς ὄχθας
in number much excelling of-the(-men) held-back
τῷ βασιλεῖ. καὶ γὰρ ἐν ταῖς προηγησαμέναις μάχαις
by-the emperor and for in the preceding battles
οὐ τοσαύτη περιέστη τοῖς Ῥωμαίοις ἀνάγκη μετὰ
not so-great came-round to-the Romans necessity with
τοῦ βασιλέως, ὥστε καὶ τὴν αὐτοῦ μοῖραν, τὸ
the emperor so-that also the his portion the(-thing)

λεγόμενον συνήθως ἀλλάγιον, διακινδυνεῦσαι καὶ πόλεμον
called customarily allagion to-run-risk and war
ἀγωνίσασθαι· ἀλλὰ προαρπαζόντων τὴν νίκην τῶν λοιπῶν
to-fight but snatching-first the victory the others
ἔμενον οἱ τῷ βασιλεῖ περιαρτώμενοι λόχοι πολεμικῶν
remained the on-the emperor attached companies of-military
ἀγωνισμάτων ἐκτός, καὶ τρόπον τινὰ τῆς ἐναγωνίου
contests outside and in-way some of-the competitive
μάχης ἐπιλελησμένοι καὶ συμπλοκῆς.
battle having-forgotten and engagement
Καὶ ὁ μὲν Τραχανιώτης τοὺς ἐπιλέκτους, ὡς 150
and — indeed Trachaneiotes the(-men) picked as
προδιείληπται, προσλαβόμενος, ἅρας ἐκεῖθεν τῆς
previously-stated having-taken-on having-set-out from-there the(-road)
ἐπὶ τὸ Χλίατ φερούσης ἤπτετο, παραβοηθήσων τοῖς
to — Chliat leading took going-to-help the
προαποσταλεῖσι Σκύθαις καὶ Φράγγοις (ἀπήγγελτο
sent-ahead Scythians and Franks it-had-been-announced
γὰρ μετὰ πλήθους μυριάνδρου τοὺς ἐναντίους αὐτοῖς
for with multitude ten-thousand-strong the opponents against-them
ἐπιφέρεσθαι), καὶ ἅμα συντηρήσων ἐκτὸς τοῦ
to-be-borne and at-the-same-time going-to-preserve outside the
ἄστεος τοὺς καρπούς, ἵνα μὴ διαρπαγέντες ὑπὸ τῶν ἔνδον
town the crops that not having-been-plundered by the inside
χλιατηνῶν καὶ συγκομισθέντες σπάνιν παράσχωσι τῷ
Chliatenes and gathered-in scarcity they-may-provide to-the
στρατῷ μεταθεμένου τοῦ βασιλέως ἐκεῖσε καὶ χρονίζοντος
army moving the emperor there and lingering
ἐπὶ πολιορκίᾳ τοῦ ἄστεος, καὶ διπλοῦς τούτοις ὁ πόλεμος
at siege of-the town and double to-them the war
περιρρεῖ, τὸ μὲν ἐκ τῶν ἐναντίων τὸ δὲ
might-flow-round the(-one) indeed from the opponents the(-other) but

ἀπὸ τοῦ λιμοῦ. τοῦτο γὰρ ὁ βασιλεὺς διασκοπήσας τὸν
from the famine this for the emperor having-considered the
στρατὸν διεχώρισεν, ἐλπίζων ταχέως τὸ Μαντζικίερτ, ὅπερ
army separated hoping quickly — Manzikert which
καὶ γέγονε, παραστήσασθαι, δι᾽ ὀλίγου δὲ καταστῆσαι
also happened to-subdue through little but to-settle
τὰ ἐπ᾽ αὐτῷ, καὶ οὕτως τοῖς οἰκείοις παλινοστῆσαι,
the(-things) concerning it and so to-the own(-men) to-return
εἰ δέ τις καὶ πόλεμος αὐτοῖς ἐξ ἀπροόπτου συνεπιστῇ,
if but some also war on-them from unforeseen should-arise
διὰ ταχυδρόμων μετακαλέσασθαι τοὺς οἰκείους, μεγάλῳ
through runners to-recall the own(-men) by-great
διαστήματι μὴ ἀπέχοντας. ἀπεκομίζετο γὰρ αὐτῷ παρὰ
distance not being-away it-was-reported for to-him by
τῶν σκοπῶν πρὸς τὴν Περσίδα τὸν σουλτάνον ἐπείγεσθαι.
the scouts toward — Persia the sultan to-hasten
καὶ κατὰ τοῦτον τὸν λόγον ἡ διαίρεσις αὐτῷ τοῦ
and by this the reasoning the division by-him of-the
στρατοῦ καὶ οὐκ ἄλογος γέγονε, καί γε ἦν οὐκ ἀπὸ
army also not irrational became and indeed was not from
λογισμοῦ στρατηγικοῦ ἐννόημα, εἰ μὴ πεπρωμένη τις,
reasoning military conception if not fated some
μᾶλλον δὲ θεῖος λόγος ἀπόρρητος, τὴν ἔκβασιν εἰς τὸ
rather but divine reason ineffable the outcome to the
ἐναντίον ἐπέστησε, καὶ πρὸς τῷ τέλει τῶν ἔργων καὶ
opposite had-set and toward the end of-the deeds and
τῇ ἐκεῖθεν ἀπαναχωρήσει καὶ αὐθημερώσει προσμίξει
the from-there withdrawal and same-day junction
τοῦ διαιρεθέντος στρατοῦ προκατέλαβεν ὁ σουλτάνος
of-the divided army anticipated the sultan
ἀκηρυκτί, καὶ τὰ δοκηθέντα τελεσθῆναι διεκωλύθησαν.
without-herald and the(-things) planned to-be-accomplished were-prevented

οἱ δὲ πολλοί, ἀγνοοῦντες τὸ τῆς διαιρέσεως αἴτιον,
the but many not-knowing the of-the division cause
μῶμον ἐκείνῳ προσάπτουσιν ὡς οὐκ εἰς δέον ποιησαμένῳ
blame on-him fasten as not for need having-made
τὸν τοῦ στρατοῦ διαμερισμόν, τῆς δὲ ὑπὲρ ἡμᾶς αἰτίας
the of-the army distribution of-the but beyond us cause
οὐδεμίαν ἔννοιαν κατὰ φρένα καὶ κατὰ θυμὸν ἐντιθέασι.
no conception in mind and in heart put
Παραβαλὼν δ' ὁ βασιλεὺς εἰς τὸ Μανζικίερτ τὴν μὲν 151
having-come but the emperor to — Manzikert the indeed
παρεμβολὴν μετὰ τῆς ὅλης παρασκευῆς ἀγχοῦ που θεῖναι
camp with the whole preparation near somewhere to-place
καὶ χάρακα θεῖναι κατὰ τὸ εἰθισμένον παρεκελεύσατο,
and palisade to-set according-to the custom ordered
αὐτὸς δὲ τὸ ἔκκριτον ἀναλαβὼν τοῦ στρατοῦ περιῆλθε τὸ
he but the select having-taken of-the army went-round the
ἄστυ, κατασκοπῶν ὅπῃ περ εὐχερὲς τὰς προσβολὰς κατὰ
town observing where indeed easy the attacks against
τοῦ τείχους ποιήσασθαι καὶ τὰς ἑλεπόλεις προσαγαγεῖν.
the wall to-make and the city-takers to-bring-up
εἶχε γὰρ ταύτας ἐκ παρασκευῆς ξύλοις παντοίοις καὶ
had for these from preparation with-timbers of-all-kinds and
μεγίστοις κατωργανωμένας, καὶ φερομένας δι' ἁμαξῶν
greatest constructed and carried by wagons
τῶν χιλίων μὴ ἀποδεουσῶν. ἤλαυνε δὲ καὶ τῶν ἄλλων
of-the thousand not falling-short drove but also of-the other
βοσκημάτων εἰς δαπάνην τοῦ στρατοῦ μυριομέτρους
cattle for expense of-the army countless
ἀγέλας. τῶν δὲ πολεμίων ἔνδον ἀλαλαζόντων τὸ ἐνυάλιον
herds of-the but enemies inside shouting the war-cry
καὶ τὰ ξίφη παραγυμνούντων καὶ ὅπλοις ἑκηβόλοις
and the swords baring and arms far-shooting

χρωμένων, μετὰ τῆς ἀσπίδος ὁ βασιλεὺς περιιππεύσας τὸ
using with the shield the emperor having-ridden-round the
τεῖχος ἐπανῆλθεν εἰς τὴν παρεμβολήν. οἱ δὲ πεζοὶ τῶν
wall returned to the camp the but foot-soldiers of-the
Ἀρμενίων προσβαλόντες τῷ ἐκτὸς τῆς ἀκροπόλεως τείχει,
Armenians having-attacked the outside of-the acropolis wall
καὶ πολλὰς προσβολὰς ποιησάμενοι, αὐτοβοεὶ αἱροῦσιν
and many attacks having-made at-the-first-shout take
αὐτό, τοῦ ἡλίου πρὸς δυσμὰς ἀποτρέχοντος. ἡσθέντος
it the sun toward setting running-off having-been-pleased
δὲ τοῦ βασιλέως τῷ γεγονότι, κατέλαβον ἀπὸ τῶν
but the emperor at-the(-thing) having-happened arrived from the
ἐναντίων καὶ πρέσβεις, συμπαθείας τυχεῖν ἐξαιτούμενοι
opponents also envoys pity to-obtain begging
καὶ τῶν ἰδίων πραγμάτων συγχώρησιν, καὶ τοιαύταις
and of-the own affairs pardon and on-such
ὁμολογίαις παραδοῦναι τὴν πόλιν τῷ βασιλεῖ. συνθέμενος
agreements to-hand-over the city to-the emperor having-agreed
δὲ πρὸς τοῦτο, καὶ τοὺς πρέσβεις δώροις τιμήσας,
but to this and the envoys with-gifts having-honored
ἀπέστειλε τὸν παραληψόμενον αὐτίκα τὸ κάστρον.
sent the(-man) going-to-take-over at-once the fort
οἱ δ' ἔνδον φρουρὰν ἐν τοιούτῳ καιρῷ εἰσδέξασθαι μὴ
the(-men) but inside garrison at such time to-receive not
καταδεξάμενοι, ἵνα μὴ κακόν τι διὰ τῆς νυκτὸς τοῖς
having-accepted that not evil anything through the night to-the
ἐναντίοις ἐπιτεχθῇ, ἔδοξαν ἠλογηκέναι καὶ καταψεύσασθαι
opponents may-be-contrived seemed to-have-disregarded and to-have-belied
τῶν σπονδῶν. διὰ τοῦτο καὶ ταχὺ σαλπίσας ὁ βασιλεὺς
the truce because-of this also quickly having-sounded the emperor
τὸ πολεμικόν, ἐξῆλθε πανστρατιᾷ τῆς παρεμβολῆς, καὶ
the war-signal went-out with-whole-army from-the camp and

τοῖς τείχεσι προσεπέλασε. καταπλαγέντες δὲ οἱ Τοῦρκοι
to-the walls approached having-been-astounded but the Turks
καὶ πρὸς ἀπολογίας τραπόμενοι, καὶ πλείονα πίστιν τῆς
and to excuses having-turned and more pledge of-the
ἑαυτῶν ἀπολυτρώσεως αἰτησάμενοι καὶ λαβόντες, ἐξίασι
their redemption having-asked and having-received go-out
μὲν ἐκ τῆς πόλεως μετὰ τῆς οἰκείας ἀποσκευῆς, καὶ
indeed from the city with the own baggage and
τῷ βασιλεῖ γονυκλινοῦσιν, οὐ κεναῖς δὲ χερσὶν ἀλλὰ
to-the emperor kneel not with-empty but hands but
πάντες ξιφήρεις, καὶ τῷ βασιλεῖ γυμνῷ πανοπλίας
all sword-bearing and to-the emperor bare of-armor
οἱ πλείονες προσεγγίζοντες· ὅτε δὴ αὐτὸς συμπαρὼν
the most approaching when indeed I being-present
οὐκ ἐπήνεσα τὴν τοῦ βασιλέως ἁπλότητα μέσον
not praised the of-the emperor simplicity in-the-midst-of
θανατώντων ἀνδρῶν καὶ τόλμῃ καὶ ἀπονοίᾳ συζώντων
death-longing men and with-daring and with-madness living
ἑαυτὸν ἀθωράκιστον καταμίξαντος.
himself unarmored having-mingled
Ἕτερον δέ τι συνηνέχθη, ζῆλον μὲν τοῦ βασιλέως 152
another but something happened zeal indeed of-the emperor
δικαιοσύνης φαντάζον, ἄμετρον δὲ τὴν τιμωρίαν καὶ
for-justice displaying immoderate but the punishment and
οὐκ εὐσεβῆ συντιθέμενον. ἐγκληθεὶς γάρ τις τῶν
not pious composing having-been-accused for one of-the
στρατιωτῶν ὡς ὀνίσκον Τουρκικὸν ὑφελόμενος, παρήχθη
soldiers as little-donkey Turkish having-stolen was-brought
μὲν κατ᾽ ὄψιν τῷ βασιλεῖ δεδεμένος, τιμωρία δ᾽
indeed into sight to-the emperor bound punishment but
ἐψηφίσθη τοῦ ἁμαρτήματος ὑπερφέρουσα· οὐ γὰρ ἐν
was-voted than-the sin exceeding not for in

χρήμασιν ἡ ζημία διώριστο ἀλλ᾽ ἐν ῥινὸς ἐκτομῇ.
money the penalty was-defined but in of-nose cutting-off
πολλὰ δὲ παρακαλέσαντος τοῦ ἀνθρώπου, καὶ πάντα τὰ
much but having-pleaded the man and all the
ἑαυτοῦ προεμένου, καὶ προβαλλομένου μεσίτην τὴν
his-own(-things) having-given-up and putting-forward as-mediator the
πάνσεπτον εἰκόνα τῆς πανυμνήτου δεσποίνης θεοτόκου τῆς
all-venerable icon of-the all-hymned mistress god-bearer the
Βλαχερνιτίσσης, ἥτις εἰώθει τοῖς πιστοῖς βασιλεῦσιν ἐν
of-Blachernai which was-wont with-the faithful emperors on
ἐκστρατείαις ὡς ἀπροσμάχητον ὅπλον συνεκστρατεύεσθαι,
campaigns as invincible weapon to-campaign-with
οὐκ εἰσῄει οἶκτος τῷ βασιλεῖ, ἀλλ᾽ οὐδ᾽ αἰδὼς τῆς ἐκ
not entered pity the emperor but not-even respect of-the from
τοῦ θείου εἰκονίσματος ἀσυλίας· ὁρῶντος δ᾽ αὐτοῦ καὶ
the divine icon inviolability seeing but he and
πάντων, καὶ αὐτῆς τῆς εἰκόνος βασταζομένης, ἀπετμήθη
all and itself the icon being-carried was-cut-off
τὴν ῥῖνα ὁ δείλαιος, κράξας μέγα καὶ στενάξας τὸ
the nose the wretch having-cried-out greatly and having-groaned the
βύθιον. τότε δὴ τότε μεγάλην ἡμῖν ἔσεσθαι τὴν ἐκ
deep then indeed then great for-us to-be the from
τοῦ θείου νέμεσιν προωττευσάμην αὐτός.
the divine nemesis foreboded I
153 Ἀντεισαγαγὼν δὲ εἰς τὸ ἄστυ πλῆθος Ῥωμαϊκὸν καὶ
having-brought-in-in-turn but into the town multitude Roman and
στρατηγὸν ἐπιστήσας, ἐπανῆλθεν εἰς τὴν παρεμβολήν,
general having-set-over he-returned to the camp
παιάνοις καὶ εὐφημίαις καὶ νικητικοῖς ἐπιφωνήμασι
with-paeans and acclamations and victorious exclamations
σεμνυνόμενος. τῇ δ᾽ ἐπαύριον μέλλοντος αὐτοῦ
being-exalted on-the but next(-day) being-about he

συνθήμασιν ἐγγράφοις καὶ δαπάνῃ τῶν ἔνδον
with-agreements written and with-expense of-the(-men) inside
κατοχυρῶσαι τὸ φρούριον καὶ αὐτίκα πρὸς τὸ Χλίατ
to-secure the fortress and at-once to — Chliat
ἀναδραμεῖν, φήμη τις ἐπεφοίτησε πολεμίους ποθὲν
to-run-up report some came enemies from-somewhere
ἐπιτεθῆναι τοῖς εἰς τὴν λείαν ἐξιοῦσι στρατιωτῶν ὑπηρέταις
to-have-attacked the to the booty going-out of-soldiers servants
προσαπαγγέλλουσα, καὶ διαταράττειν καὶ κατατρύχειν
announcing and to-trouble and to-wear-down
αὐτούς. φθανούσης δὲ τὴν ἑτέραν ἑτέρας, ᾠήθη ὁ
them outstripping but the one another thought the
βασιλεὺς ἡγεμόνα τοῦ σουλτάνου τινὰ μετά τινος μερικῆς
emperor leader of-the sultan some with some partial
δυνάμεως ἐπιστῆναι καὶ διακλονεῖν τοὺς σποράδας
force to-have-come-upon and to-shake the(-men) scattered
τῆς Ῥωμαϊκῆς ὑπηρεσίας, καὶ ἀπέστειλεν ἐπὶ τῷ τούτους
of-the Roman service and sent for the them
ἀποκρούσασθαι Νικηφόρον μάγιστρον τὸν Βρυέννιον μετὰ
to-repel Nikephoros magistros — Bryennios with
τῆς ἀρκούσης δυνάμεως· ὃς καὶ κατὰ μέτωπον στὰς
the sufficient force who also in front standing
ἀκροβολισμούς τινας καὶ ἱππομαχίας οὐκ ἀκριβεῖς (κατ'
skirmishes some and cavalry-fights not exact by
ὀλίγους γὰρ ἀλλήλοις συνέπιπτον) ἐποιεῖτο. ἐν δὲ τῇ
few for with-one-another they-clashed made in but the
ἀστάτῳ ταύτῃ περιφορᾷ, τῶν Τούρκων ἑκηβόλων ὄντων,
unstable this circling the Turks far-shooting being
πολλοὶ τῶν Ῥωμαίων ἐτραυματίσθησαν, ἔπεσον δὲ καὶ
many of-the Romans were-wounded fell but also
ἕτεροι (ῥωμαλεώτεροι γὰρ τῶν ἄλλων, ὧν πεῖραν
others stronger for than-the others of-whom trial

ἐλάβομεν, Τούρκων καὶ θρασύτερον προσρηγνύμενοι καὶ
we-took Turks and more-boldly breaking-against and
ἀγχεμάχοις τοῖς ἐπερχομένοις ἀντικαθίστανται), ἕως ὁ
in-close-combat the(-men) attacking withstand until the
δηλωθεὶς στρατηγὸς φόβῳ κατασεισθεὶς δύναμιν ἑτέραν
declared general by-fear having-been-shaken force other
παρὰ τοῦ βασιλέως ἐζήτησεν. ὁ δὲ καταγνοὺς αὐτοῦ
from the emperor sought he but having-condemned his
δειλίαν (ἠγνόει γὰρ τὸ ἀληθές) προσέθετο μὲν οὐδέν,
cowardice was-ignorant-of for the truth added indeed nothing
ἐκκλησίαν δὲ συστησάμενος ἐδημηγόρησε τὰ περὶ τοῦ
assembly but having-convened harangued the(-things) about the
πολέμου παρὰ τὸ εἰωθός, ἥψατο δὲ καὶ τραχυτέρων
war contrary-to the custom touched but also harsher
ῥημάτων. ἐν δὲ τῷ μέσῳ τὴν ἐπιφώνησιν ὁ ἱερεὺς
words in but the middle the exclamation the priest
τοῦ εὐαγγελίου ἐσήμανε. περὶ οὗ ἔθεντό τινες ἐν ταῖς
of-the gospel signaled about which placed some in the
καρδίαις ὡς ἔσται τὰ ἐπ᾽ αὐτῷ λαληθησόμενα τῶν
hearts that will-be the(-things) at it going-to-be-spoken of-the
ἐπικειμένων πραγμάτων ἐπίβασις. εἰ δὲ τούτων καὶ
impending affairs entry if but of-these also
αὐτὸς μέρος ἐγεγόνειν, οὐκ ἀναγκαῖον εἰπεῖν. εἶχε δὲ τὸ
I part had-become not necessary to-say had but the
εὐαγγέλιον, ἵνα τἆλλα παρῶ, τὸ "εἰ ἐμὲ ἐδίωξαν,
gospel that the-other(-things) I-may-pass-over the if me they-persecuted
καὶ ὑμᾶς διώξουσιν. εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ
also you they-will-persecute if the word my they-kept also
τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν
the yours they-will-keep but these-things all they-will-do
ὑμῖν, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. ἀλλ᾽ ἔρχεται
to-you because not they-know the(-one) having-sent me but comes

ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν
hour that every the(-one) having-killed you may-think service
προσφέρειν τῷ θεῷ.” εὐθὺς οὖν ἀγωνιᾶν οἱ τοῦτο
to-offer — to-god straightway then to-be-anxious the(-men) this
προσημηνάμενοι κατηρξάμεθα, καὶ ἀψευδὲς εἶναι τὸ
having-noted-beforehand we-began and unfailing to-be the(-thing)
λαληθὲν ἐπὶ τῆς σημειώσεως διεγνώκειμεν. ζέοντος δὲ
spoken at the marking had-recognized boiling but
τοῦ πολέμου ἐπαπέστειλεν ὁ βασιλεὺς καὶ τὸν μάγιστρον
the war sent-after the emperor also the magistros
Βασιλάκην καὶ κατεπάνω Θεοδοσιουπόλεως μετά τινων
Basilakes and katepano of-Theodosioupolis with some
ἐγχωρίων στρατιωτῶν, ὡς τῶν λοιπῶν ὄντων μετὰ
native soldiers as the others being with
τοῦ Τραχανειώτου εἰς τὸ Χλίατ. προστεθεὶς οὖν τῷ
— Trachaneiotes at — Chliat having-been-joined then —
Βρυεννίῳ μέχρι τινὸς τοὺς ἀκροβολισμοὺς καὶ αὐτὸς
to-Bryennios to some(-point) the skirmishes also himself
ὑπεδέχετο. συνθεμένων δὲ τῶν στρατιωτῶν κατόπιν
received having-agreed but the soldiers behind
αὐτοῦ ἀκολουθεῖν, πρωταγωνιστεῖν αὐτὸς καθυπέσχετο,
him to-follow to-fight-first he promised
καὶ εὐθὺς ἐξορμήσας νῶτα δεδωκότων τῶν ἐναντίων
and straightway having-rushed-out backs having-given the opponents
ἐδίωκε. συνακολουθήσας δ’ αὐτῷ μετὰ τοῦ πλήθους
pursued having-followed-with but him with the multitude
ὁ Βρυέννιος, εἶτα τοὺς ῥυτῆρας ἐκ συνθήματος ἐν
— Bryennios then the reins by signal in
ἀγνοίᾳ τοῦ Βασιλακίου ἀνέχειν τοὺς ἀμφ’ αὐτὸν
ignorance — of-Basilakes to-hold-back the(-men) about him
προτρεψάμενος, ἀφῆκεν αὐτὸν μετὰ τῶν πειθομένων
having-urged left him with the(-men) obeying

τούτῳ καὶ μόνων ἀκρατῶς διώκειν ἐπὶ πολύ. ἐπεὶ δὲ τῷ
him and alone unrestrainedly to-pursue for much when but the
χάρακι τῶν ἐναντίων προσέμιξε, διαπαρέντος τοῦ ἵππου
palisade of-the opponents he-reached having-been-pierced the horse
προσέσχε τῇ γῇ, βάρος τῶν ὅπλων ἐπιφερόμενος·
he-came-down to-the ground weight of-the arms bearing
διὸ καὶ περιχυθέντες αὐτὸν οἱ πολέμιοι ζωγρίᾳ
wherefore also having-poured-round him the enemies alive
λαμβάνουσι.
take

155 Καταλαβούσης δὲ ταύτης τῆς ἀγγελίας τὸν βασιλέα
having-reached but this the news the emperor
καὶ τὸν στρατόν, δειλία καὶ κινδύνων ἐλπὶς τοῖς
and the army cowardice and of-dangers expectation upon-the
Ῥωμαίοις ἐπέσκηψεν, ἐπεὶ καὶ οἱ τραυματίαι φοράδην
Romans fell since also the wounded carried
ἀγόμενοι καὶ ταῖς ἐκ τῶν πληγῶν ὀδύναις ἐπιστενάζοντες
being-led and at-the from the blows pains groaning
ἦσαν. ἀναγκασθεὶς δ' ὁ βασιλεὺς ἐξῆλθε μετὰ τοῦ
were having-been-compelled but the emperor went-out with the
λοιποῦ πλήθους εἰς τὴν τῶν πραττομένων θέαν,
remaining multitude to the of-the(-things) being-done sight
καὶ ὥστε εἴ τις αὐτῷ ἐπίοι πόλεμος, ἀγωνίσασθαι.
and so-that if any on-him should-come war to-fight
μέχρι δ' ἑσπέρας ἐπί τινων λόφων ἑστὼς ὑψηλῶν,
until but evening on some hills standing lofty
ἐπείπερ οὐκ εἶδέ τινα τὸν ἀντικαταστησόμενον (οἱ
since not he-saw anyone the(-one) going-to-oppose the
γὰρ Τοῦρκοι πονηρίᾳ καὶ ἐπινοίᾳ βαθυτάτῃ συζῶντες
for Turks with-wickedness and with-cunning deepest living-with
διὰ μηχανῶν τὸ πᾶν κατορθοῦσι καὶ συστολῶν
through devices the whole accomplish and contractions

ἀπηγκωνισμένων), ὑπέστρεψεν εἰς τὴν παρεμβολήν, ἄρτι
pushed-aside he-returned to the camp just
τοῦ ἡλίου τὸ ὑπὲρ γῆν ἡμισφαίριον ἀπολείποντος. οἱ
the sun the above earth hemisphere leaving the
δὲ Τοῦρκοι ὥσπερ ἀπὸ μηχανῆς κατόπιν περιχυθέντες
but Turks as from engine behind having-poured-round
τοῖς ἐκτὸς τῆς παρεμβολῆς Σκύθαις καὶ τοῖς πωλοῦσι
the outside the camp Scythians and the(-men) selling
τὰ ὤνια ῥαγδαίως προσέβαλον, ὑλακαῖς ἀσήμοις καὶ
the wares violently attacked with-bowlings indistinct and
τόξου βολαῖς καὶ περιιππεύσεσι φόνον οὐ μικρὸν καὶ
of-bow shots and ridings-round slaughter not small and
κίνδυνον αὐτοῖς ἐπιφέροντες· ὅθεν καὶ ἠναγκάσθησαν
danger upon-them bringing whence also were-compelled
οἱ τὴν ἔφοδον ὑφιστάμενοι ἐντὸς γενέσθαι τοῦ
the(-men) the attack withstanding inside to-come of-the
χάρακος. ἀθρόοι τοίνυν ἄλλος κατ᾽ ἄλλον ὡς ἀπὸ
palisade crowded therefore one after another as from
διωγμοῦ τὴν εἴσοδον βιαζόμενοι, μεγάλης ταραχῆς
pursuit the entrance forcing great confusion
τοὺς ἔνδον ἐπλήρωσαν, οἰομένους καὶ τοὺς ἐναντίους
the(-men) inside filled thinking also the opponents
συνεισπεσεῖν, καὶ πᾶσαν ὁμοῦ τὴν παρεμβολὴν μετὰ
to-fall-in-with(-them) and all together the camp with
τῆς ὅλης ἀποσκευῆς γενέσθαι ἁλώσιμον. νὺξ γὰρ
the whole baggage to-become capturable night for
ἀσέληνος ἦν, καὶ διάκρισις οὐκ ἦν τῶν φευγόντων
moonless was and distinction not was of-the(-men) fleeing
ἢ τῶν διωκόντων, καὶ τίνες τῆς ἐναντίας μοίρας
or of-the(-men) pursuing and which of-the opposing portion
εἰσί· τὸ γὰρ τῶν Σκυθῶν μισθοφορικόν, ἐμφερὲς
are the for of-the Scythians mercenary(-force) similar

κατὰ πάντα τοῖς Τούρκοις ὄν, ἀμφίβολον ἐποίει
in all-respects to-the Turks being doubtful made
τὸ νῦν ἐπικείμενον. τότε δὴ τότε καὶ φόβος
the(-thing) now impending then indeed then both fear
ἐξαίσιος καὶ λόγος ἀπαίσιος καὶ βοὴ συμμιγὴς καὶ
extraordinary and word ominous and shout mixed and
ἄσημος κρότος καὶ πάντα μετὰ θορύβων καὶ κινδύνων
indistinct clatter and all-things with tumults and dangers
ἐδείκνυτο· καὶ πᾶς τις θανεῖν ἐπεθύμει μᾶλλον ἢ
were-shown and every one to-die desired rather than
τοιοῦτον ἰδεῖν καιρόν. καὶ τὸ μὴ κατιδεῖν ὡς εὐτυχὲς
such to-see occasion and the not to-behold as fortunate
ἐνομίζετο, καὶ τοὺς μὴ τοιοῦτον ἰδόντας ὡς εὐτυχεῖς
was-thought and the(-men) not such having-seen as fortunate
ἐμακάριζεν.
deemed-blessed

157 Ἀλλ' ἐν τούτῳ πάθους τῶν Ῥωμαίων ὄντων,
but in this of-suffering the Romans being
οὐκ ἠδυνήθησαν οἱ πολέμιοι ἐντὸς τοῦ χάρακος
not were-able the enemies inside the palisade
εἰσπεσεῖν, εὐλαβούμενοι καὶ οὗτοι τὸ ἀπρόσφορον
to-fall-in being-wary also these the unsuitableness
τοῦ καιροῦ καὶ τὰς κοινὰς ἐννοίας εἰς ἑαυτοὺς
of-the occasion and the common notions into themselves
ἐμπλέκοντες. οὐ μὴν γεγόνασιν ὀπισθόρμητοι,
weaving not however became turned-back
ἀλλὰ δι' ὅλης νυκτὸς περιηχοῦντες ἦσαν ἐκτὸς
but through whole night resounding-round were outside
δρόμοις καὶ περιδρόμοις τὴν Ῥωμαίων παρεμβολήν,
with-runs and runnings-round the of-Romans camp
τόξοις καὶ σκυλμοῖς βάλλοντες καὶ πανταχόθεν
with-bows and with-harassments shooting and from-all-sides

περιβομβοῦντες καὶ περιφοβοῦντες αὐτούς, ὡς ἅπαν
humming-round and frightening them so-as wholly
διανυκτερεῦσαι ἠνεῳγμένοις καὶ ἀγρύπνοις τοῖς
to-spend-the-night with-open and sleepless the
ὄμμασι· τίς γὰρ ἂν καὶ εἶχεν εἰς ὕπνον τραπῆναι,
eyes who for — also could to sleep to-turn
τοῦ κινδύνου τὴν ῥομφαίαν ἐσπασμένην μονονουχὶ
the danger the sword drawn all-but
προδεικνύοντος.
showing

Οὐ μὴν ἀλλ' οὐδ' εἰς τὴν ἐπιοῦσαν ἡμέραν τῆς 157
not however but not-even on the next day from-the
ἱππασίας καὶ τῆς εἰς μάχην προκλήσεως ἔληξαν οἱ
riding and from-the to battle challenge ceased the
πολέμιοι, ἀλλὰ καὶ τὸν ἔξωθεν παραρρέοντα ποταμὸν ὑφ'
enemies but also the from-outside flowing-past river under
ἑαυτοὺς ποιησάμενοι δίψει παραστήσασθαι τοὺς Ῥωμαίους
themselves having-made by-thirst to-subdue the Romans
ἐφιλονείκουν. ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ μοῖρά τις Σκυθική,
they-strove on this but the day portion some Scythian
ἔξαρχον ἔχουσα Ταμίν τινα κατονομαζόμενον, τοῖς ἐναντίοις
leader having Tamis some named to-the opponents
προσερρύη· ὅπερ οὐκ εἰς μικρὰν ἀγωνίαν τοὺς Ῥωμαίους
went-over which not into small anguish the Romans
ἐνέβαλεν, ὑποπτεύοντας καὶ τοὺς λοιποὺς τοῦ ἔθνους,
threw suspecting also the(-men) remaining of-the nation
ὅτι τὸ ἀπὸ τοῦδε πολεμίοις ἐοικότες συνδιατρίβουσι
that the(-time) from this to-enemies like they-spend-time-with
τούτοις καὶ συνδιαγωνίζεσθαι μέλλουσιν. ἐξιόντες δέ
them and to-fight-with(-them) are-about going-out but
τινες τῶν πεζῶν μετὰ τόξων πολλοὺς τῶν Τούρκων
some of-the foot-soldiers with bows many of-the Turks

ἀνεῖλον καὶ τῆς παρεμβολῆς ἐκστῆναι συνέπεισαν. ὁ
killed and from-the camp to-stand-off persuaded the
δὲ βασιλεὺς ἤθελε μὲν ἀγχεμάχῳ πολέμῳ καὶ ἀντιθέτῳ
but emperor wished indeed by-close-fought war and opposing
παρεμβολῇ κρῖναι τὸ τέλος παραυτίκα τῆς μάχης, τοὺς
camp to-decide the end at-once of-the battle the
δ' ἀπόντας εἰς τὸ Χλίατ περιμένων στρατιώτας, πλῆθος
but absent at — Chliat awaiting soldiers multitude
ὄντας οὐκ εὐαρίθμητον καὶ συνήθως ἀεὶ προπολεμοῦντας
being not easily-counted and customarily always fighting-in-front
καὶ ἠσκημένους μᾶλλον τὴν πυρρίχειον ὄρχησιν, τὸν
and trained rather in-the pyrrhic dance the
ἀγῶνα τοῦτον ὑπερετίθετο. ὡς δ' ἀπεγνώκει τὴν ἐκ
contest this postponed when but he-had-despaired-of the from
τούτων βοήθειαν, καί τι διακωλῦσαι τούτους πρὸς
these help and something to-prevent them for
τὴν ἄφιξιν ἰσχυρὸν ὑπελάμβανεν, ἐσκέψατο λοιπὸν εἰς τὴν
the arrival strong supposed considered henceforth for the
ὑστεραίαν μετὰ τῶν συνόντων αὐτῷ προθύμως κατὰ
next(-day) with the(-men) being-with him eagerly against
τῶν ἐναντίων ἐπαγωνίσασθαι. εἶχε δ' ὅμως τοῦτον καὶ
the opponents to-fight had but nevertheless him also
αὖθις ἐλπίς, ὡς οὐδὲ κἂν εἰς τὴν αὔριον ὑστερήσωσιν·
again hope that not even for the morrow they-should-fall-short
ἠγνόει γὰρ ὡς ὁ στρατηγὸς τούτων μαθὼν τὴν τοῦ
was-ignorant-of for that the general of-these having-learned the of-the
σουλτάνου κατ' αὐτοῦ τοῦ βασιλέως ἐπέλευσιν, ἄρας
sultan against himself the emperor approach having-set-out
τοὺς ἀμφ' αὐτὸν ἅπαντας, διὰ τῆς Μεσοποταμίας φυγὰς
the about him all through — Mesopotamia fugitive

ἀγεννῶς εἰς τὴν Ῥωμαίων ἐνέβαλε, μηδένα λόγον τοῦ
ignobly into the of-Romans(-land) threw(-himself) no account of-the
δεσπότου μήτε μὴν τοῦ εἰκότος ὁ δείλαιος θέμενος.
master nor indeed of-the fitting the wretch having-made
Ὁ γοῦν βασιλεὺς κατὰ τὸ συγκείμενον τὴν εἰς 158
the indeed emperor according-to the agreed the for
τὸν πόλεμον παρασκευὴν αὔριον ἐξαρτύσας τὰ
the war preparation tomorrow having-equipped the(-things)
κατ᾽ αὐτὸν διετίθετο, ἔτι τῆς βασιλέως σκηνῆς ἐντὸς
concerning him arranged still of-the emperor tent inside
καθιστάμενος, ὁπότε τὴν εἰς τοὺς Σκύθας ὑποψίαν
being when the toward the Scythians suspicion
περιαιρῆσαι βουλόμενος αὐτὸς ἐγὼ ὅρκῳ κατασφαλίσασθαι
to-remove wishing myself I by-oath to-secure
τούτους τῷ βασιλεῖ συνεβούλευσα. καὶ δῆτα τὴν βουλὴν
them to-the emperor counseled and indeed the counsel
ἐπαποδεξάμενος τελεστὴν τὴν τοῦ ἔργου καὶ διοριστὴν
having-accepted performer the of-the work and arbiter
αὐτίκα με προεβάλετο. οὐκοῦν καὶ κατὰ τὸ πάτριον
at-once me put-forward therefore also according-to the ancestral(-custom)
αὐτοὺς καθορκώσας, ἦ μὴν ἀνεπιβούλευτον τηρῆσαι
them having-bound-by-oath truly indeed unplotted to-keep
τὴν εἰς τὸν βασιλέα πίστιν καὶ τοὺς Ῥωμαίους, οὕτως
the toward the emperor faith and the Romans so
αὐτοὺς ἀκριβεῖς τῶν σπονδῶν διατέθεικα φύλακας, καί
them exact of-the treaty I-made guardians and
γε τῶν κατὰ σκοπὸν οὐ διήμαρτον· οὐδεὶς γὰρ ἐκ
indeed of-the(-things) according-to aim not I-missed no-one for of
τούτων οὐδ᾽ ἐν αὐτῷ τῷ πολέμῳ τοῖς πολεμίοις προσετέθη.
these even in itself the war to-the enemies was-added

Romanos refused the sultan's envoys and chose battle. He drove the Turks before him until evening, then turned the imperial standard for camp, and a cousin of his stepson Michael spread word of defeat; the regiments fled, and Romanos, wounded and unhorsed, was captured. The sultan honored him, made a treaty and a marriage alliance, and released him to Theodosioupolis. In the capital Eudocia barred Romanos from the provinces and summoned the Caesar John, whose party proclaimed her son Michael sole emperor and shut her in a convent.

159 Ἐν ὅσῳ δὲ τὰ τοιαῦτα ἐπράττετο, καὶ οἱ στρατιῶται
in as-long-as but the such(-things) were-being-done and the soldiers
κατὰ τάξεις καὶ λόχους ἐπὶ τῶν ἵππων ἐφίσταντο,
by ranks and companies on the horses were-standing
πρέσβεις ἦκον ἐκ τοῦ σουλτάνου τὴν εἰρήνην ἀμφοτέροις
envoys came from the sultan the peace for-both
ἐπικηρυκευόμενοι. ὁ δὲ βασιλεὺς ἐδέξατο μὲν αὐτούς, καὶ
proposing the but emperor received indeed them and
λόγων αὐτοῖς κατὰ νόμον τῶν πρέσβεων μεταδέδωκεν,
of-words to-them according-to law of-the envoys gave
οὐ πάνυ δὲ τούτους φιλανθρώπως ἐδέξατο. ὅμως δ'
not very but them kindly received nevertheless but
οὖν συνεπινεύσας καὶ τὸ προσκυνούμενον σημεῖον αὐτοῖς
then having-assented also the venerated sign to-them
ἐπιδέδωκεν, ἵνα τῇ ἐπιδείξει τούτου ἀβλαβεῖς πρὸς
gave that by-the display of-it unharmed to
αὐτὸν ἐπανέλθοιεν, κομίζοντες ἀγγελίας ἃς ἂν ἐκ τοῦ
him they-might-return bringing messages which — from the
σουλτάνου διενωτίσοιντο. δεδήλωκε γάρ, τῷ ἀνελπίστῳ
sultan they-might-hear he-declared for by-the unexpectedness
τοῦ μηνύματος ἐπαρθείς, ἵν' ὁ σουλτάνος καταλιπὼν
of-the message having-been-lifted-up that the sultan having-left

τὸν τόπον τῆς παρεμβολῆς πορρωτέρω στρατοπεδεύσηται·
the place of-the camp farther-off may-encamp
αὐτὸς δὲ ὁ βασιλεὺς ἐν ἐκείνῳ τῷ τόπῳ, ὃς τὰς
himself but the emperor in that the place which the
Τουρκικὰς εἶχε δυνάμεις πρότερον, ἐπιθήσει τὸν χάρακα,
Turkish had forces before will-set the palisade
καὶ τηνικαῦτα πρὸς συμβάσεις αὐτῷ παραγένηται. ἔλαθε
and then for agreements to-him he-may-come escaped-notice
δὲ τὴν νίκην διὰ τοῦ νικητικοῦ σημείου τοῖς ἐναντίοις
but the victory through the victorious sign to-the opponents
παραπεμψάμενος, καθὼς οἱ τὰ τοιαῦτα διακριβοῦντες
having-sent-on as the(-men) the such(-things) scrutinizing
συμβάλλουσιν· οὐ γὰρ ἔδει μάχης προκειμένης
reckon not for it-was-needful battle lying-ahead
τοιοῦτον σύμβολον ἐξ ἑαυτοῦ πρὸς ἐναντίους μεταθεῖναι.
such token from himself to opponents to-transfer
Τὸ δ' ἀπὸ τοῦδε δυσάντητος ἡμῖν ὁ λόγος διὰ τὸ 160
the(-time) but from this hard-to-face for-us the account because-of the
ἐργώδες τῶν ἀτυχημάτων καὶ λίαν ἀπόφημον, καὶ τὴν εἰς
laboriousness of-the misfortunes and very ill-omened and the on
τοὺς Ῥωμαίους ἐπισυμβᾶσαν χαλεπωτάτην δυσκληρίαν.
the Romans having-befallen harshest calamity
Οὔπω τέλος ἔσχε οὐδ' ἀναβολὴν ἡ τῶν πρέσβεων ἄφιξις, 160
not-yet end had nor delay the of-the envoys arrival
καί τινες τῶν ἐγγυτάτων τῷ βασιλεῖ πείθουσιν αὐτὸν
and some of-the nearest to-the emperor persuade him
ἀποβαλέσθαι τὴν εἰρήνην ὡς ψευδομένην τὸ ἔργον καὶ
to-cast-off the peace as feigning the deed and
ἀπατῶσαν μᾶλλον ἢ τὸ συμφέρον ἐθέλουσαν. δεδιέναι γάρ
deceiving rather than the advantage wishing to-fear for
φασι τὸν σουλτάνον διὰ τὸ μὴ ἀξιόλογον ἔχειν δύναμιν
they-say the sultan because-of the not notable to-have force

καὶ περιμένειν τοὺς κατόπιν αὐτοῦ βαδίζοντας, καὶ τῷ
and to-await the(-men) behind him marching and by-the
προσχήματι τῆς εἰρήνης μετεωρίζειν τὸν χρόνον, ὡς ἂν
pretext of-the peace to-suspend the time so-that —
ἐπικαταλάβοι τὸ ὑστεροῦν τῆς δυνάμεως. τοῦτο ῥηθὲν
he-might-overtake the lagging of-the force this said
διανίστησι τὸν βασιλέα πρὸς πόλεμον. καὶ οἱ μὲν Τοῦρκοι
rouses the emperor to war and the indeed Turks
κατὰ σφᾶς αὐτοὺς τὰ τῆς εἰρήνης ἐπραγματεύοντο, ὁ
among them themselves the(-things) of-the peace were-busy-with the
δὲ βασιλεὺς σαλπίσας τὸ ἐννάλιον τὸν μόθον παραλόγως
but emperor having-sounded the war-call the battle unreasonably
ἐκράτησε. καταλαβοῦσα δ' ἡ φήμη τοὺς ἐναντίους
held having-reached but the report the opponents
ἐξέπληξε. τέως δ' οὖν καθοπλισάμενοι καὶ αὐτοὶ τὸ
astounded meanwhile but then having-armed also themselves the
μὲν ἄχρηστον πλῆθος εἰς τοὐπίσω προήλαυνον, αὐτοὶ δὲ
indeed useless multitude to the-back drove-forward they but
κατόπιν φαντασίαν ἐδίδουν πολεμικῆς ἀντιπαρατάξεως.
behind appearance gave of-warlike counter-array
τὸ δὲ πλεῖστον φυγή τις κατεῖχεν αὐτούς, συντεταγμένας
the but most flight some held them drawn-up
ἰδόντας τὰς τῶν Ῥωμαίων φάλαγγας ἐν τάξει καὶ κόσμῳ
having-seen the of-the Romans phalanxes in rank and order
καὶ πολεμικῷ παραστήματι. καὶ οἱ μὲν προῆεσαν εἰς
and warlike bearing and they indeed advanced to
τοὐπίσω, ὁ δὲ βασιλεὺς κατόπιν αὐτῶν πανστρατιᾷ
the-back the but emperor behind them with-whole-army
ἐπεδίωκεν, ἕως ἄρα δείλη ὀψία κατέλαβεν. ἐπεὶ δ' ὁ
pursued until then evening late overtook when but the
βασιλεὺς τοὺς ἀντιτεταγμένους καὶ ἀντιπολεμοῦντας οὐκ
emperor the(-men) drawn-up-against and fighting-against not

εἶχε, τὴν δὲ παρεμβολὴν ἐψιλωμένην στρατιωτῶν καὶ
had the but camp stripped of-soldiers and
πεζοφυλάκων ἐγίνωσκε, διὰ τὸ μηδ᾽ εὐπορεῖν ἱκανοῦ
of-foot-guards knew because-of the not to-have-plenty of-sufficient
πλήθους ὥστε καὶ παρατάξεις ἐνταῦθα καταλιπεῖν, ἤδη
multitude so-that also battle-lines there to-leave already
προεξαντληθέντων τῶν πλείστων, ὡς προδιείληπται,
exhausted-before the most as previously-stated
ἔγνω μὴ πλεῖον ἐπιτεῖναι τὴν δίωξιν, ἵνα μὴ λόχον
resolved not more to-stretch the pursuit that not ambush
πεποιηκότες οἱ Τοῦρκοι ἀφυλάκτῳ ταύτῃ ἐπίθωνται,
having-made the Turks unguarded it they-may-attack
καὶ ἅμα διασκοπῶν ὡς εἰ πλεῖον ἐκμακρυνθείη,
and at-the-same-time considering that if further he-might-be-drawn-out
καταλήψεται τοῦτον ἐν τῇ ἐπανόδῳ ἡ νύξ, καὶ τηνικαῦτα
will-overtake him in the return the night and then
οἱ Τοῦρκοι παλίντροπον θήσουσι τὴν φυγήν, ἐκηβόλοι
the Turks reversed will-make the flight far-shooting
τυγχάνοντες. διὰ ταῦτα καὶ τὴν βασιλικὴν σημαίαν
being because-of these-things also the imperial standard
ἐπιστρέψας νόστου ἐπιμνησθῆναι διήγγελλεν. οἱ δὲ πόρρω
having-turned of-return to-be-mindful announced the but far-off
τὰς φάλαγγας ἔχοντες στρατιῶται, τὴν ἐπιστροφὴν
the phalanxes having soldiers the turning
τῆς βασιλικῆς σημαίας ἰδόντες, ᾠήθησαν ἥττῃ τὸν
of-the imperial standard having-seen thought in-defeat the
βασιλέα περιπεσεῖν. ὡς δ᾽ οἱ πολλοὶ πληροφοροῦσιν, ὅτι
emperor to-have-fallen as but the many assure that
τῶν ἐφεδρευόντων αὐτῷ τις, ἐξάδελφος ὢν τῷ τοῦ
of-the(-men) lying-in-wait-for him one cousin being to-the of-the
βασιλέως προγονῷ Μιχαήλ, προβεβουλευμένην ἔχων τὴν
emperor stepson Michael premeditated having the

κατὰ τούτου ἐπιβουλήν, αὐτὸς τὸν τοιοῦτον λόγον τοῖς
against him plot himself the such word to-the
στρατιώταις διέσπειρε, καὶ ταχὺ τοὺς οἰκείους ἀναλαβὼν
soldiers sowed and quickly the own(-men) having-taken
(ἐμπεπίστευτο γὰρ παρὰ τῆς τοῦ βασιλέως καλοκαγαθίας
had-been-entrusted for by the of-the emperor nobility
οὐ μικρόν τι μέρος λαοῦ) φυγὰς εἰς τὴν παρεμβολὴν
not small some part of-people fugitive into the camp
ἐπανέδραμε.
ran-back
μιμησάμενοι δὲ τοῦτον οἱ πλησιέστεροι λόχοι εἷς καθ'
having-imitated but him the nearer companies one by
ἕνα τὴν φυγὴν ἀμαχητὶ διεδέξαντο, κἀκείνους ἕτεροι. καὶ
one the flight without-battle took-over and-those others and
οὕτως ὁ βασιλεὺς ἰδὼν τὸ παράλογον τῆς ἐξαγωνίου
so the emperor having-seen the unreasonableness of-the out-of-contest
φυγῆς, ἔστη μετὰ τῶν περὶ αὐτόν, τὴν τῶν οἰκείων
flight stood with the(-men) about him the of-the own(-men)
φυγήν, ὡς ἔθος, ἀνακαλούμενος. ἦν δὲ ὁ ἐπακούων
flight as custom recalling was but the(-one) hearkening
οὐδείς. τῶν δ' ἐναντίων οἱ ἐπὶ λόφων ἱστάμενοι, τὸ
no-one of-the but opponents the(-men) on hills standing the
τῶν Ῥωμαίων ἰδόντες ἐξαίφνης ἀτύχημα, τῷ σουλτάνῳ
of-the Romans having-seen suddenly misfortune to-the sultan
καταγγέλλουσι τὸ γενόμενον, καὶ τὴν ἐπιστροφὴν
announce the(-thing) having-happened and the return
αὐτῷ κατεπείγουσιν. εὐθὺς οὖν ἐπανελθόντος αὐτοῦ μάχη
on-him urge straightway then having-returned he battle
τις ἀθρόον τῷ βασιλεῖ προσρήγνυται· καὶ κελεύσας
some all-at-once on-the emperor breaks and having-ordered
τοὺς ἀμφ' αὐτὸν μὴ ἐνδοῦναι μηδὲ μαλακόν τι
the(-men) about him not to-give-way nor soft anything

παθεῖν, ἠμύνατο μὲν ἐρρωμένως μέχρι πολλοῦ. ἐν δὲ τῷ
to-suffer he-defended indeed stoutly to much in but the
μέσῳ τῆς τῶν ἄλλων φυγῆς περιαντλησάσης ἔξω τὸν
middle of-the of-the others flight having-flooded-round outside the
χάρακα, συμμιγής τις ἦν ἐκ πάντων βοὴ καὶ ἄτακτος
palisade mixed some was from all shout and disordered
δρόμος, καὶ λόγος οὐδεὶς ἀπηγγέλλετο καίριος, τῶν
running and word no was-reported timely the(-men)
μὲν λεγόντων ἰσχυρῶς ἀντιπαρατάξασθαι τὸν βασιλέα
indeed saying strongly to-have-stood-against the emperor
μετὰ τῶν ὑπολελειμμένων αὐτῷ καὶ τοὺς βαρβάρους
with the(-men) left to-him and the barbarians
τρέψασθαι, τῶν δὲ σφαγὴν ἢ ἅλωσιν καταγγελλόντων
to-have-routed the(-others) but slaughter or capture announcing
αὐτοῦ, καὶ ἄλλων ἄλλα συνειρόντων καὶ παλίντροπον
his and others other(-things) stringing-together and reversed
ἑκατέρου μέρους τὴν νίκην καταλεγόντων, ἕως ἤρξαντο
of-each side the victory recounting until began
καὶ τῶν σὺν αὐτῷ Καππαδοκῶν πολλοὶ κατὰ μοίρας τινὰς
also of-the with him Cappadocians many by portions some
ἐκεῖσε ἀποφοιτᾶν. εἰ δέ τι καὶ αὐτὸς τοῖς φεύγουσιν
there to-go-off if but something also I to-the fleeing
ἀντίξους γεγονὼς πολλοὺς ἠμυνάμην, τὴν ἀνάκλησιν
opposed having-become many held-off the recall
ἐπιτρέπων τῆς ἥττης, ἕτεροι λεγέτωσαν. τὸ δὲ μετὰ
entrusting of-the defeat others let-them-say the(-thing) but after
τοῦτο καὶ τῶν βασιλικῶν ἵππων πολλοὶ μετὰ τῶν ἵππων
this also of-the imperial horses many with the horses
ἐπαναστρέφοντες μὴ ἰδεῖν τὸν βασιλέα, τί γέγονεν,
returning not to-have-seen the emperor what has-happened
ἐρωτώμενοι ἀπεκρίναντο. καὶ ἦν σεισμὸς οἷος καὶ ὀδυρμὸς
being-asked answered and was shaking such and lamentation

καὶ πόνος καὶ φόβος ἀκίχητος, καὶ ἡ κόνις αἰθέριος,
and toil and fear unattainable and the dust skyward
καὶ τέλος οἱ Τοῦρκοι πανταχόθεν ἡμῖν περιρρέοντες. ὅθεν
and finally the Turks from-all-sides us flowing whence
καὶ ὡς εἶχεν ἕκαστος ὁρμῆς ἢ σπουδῆς ἢ ἰσχύος, φυγῇ
also as had each of-impulse or of-haste or of-strength to-flight
τὴν ἑαυτοῦ σωτηρίαν ἐπίστευσεν. οἱ δ' ἐναντίοι κατόπιν
the his-own safety entrusted the but opponents behind
διώκοντες οὓς μὲν ἀνεῖλον οὓς δὲ ζωγρίᾳ εἶλον, ἑτέρους δὲ
pursuing some indeed killed others but alive took others but
συνεπάτουν. καὶ ἦν τὸ πρᾶγμα λίαν ἐπώδυνον καὶ πάντα
trampled and was the affair very painful and every
θρῆνον ὑπερβάλλον καὶ κοπετόν. τί γὰρ ἐλεεινότερον
lament surpassing and beating-of-breasts what for more-pitiable
τοῦ στρατόπεδον ἅπαν βασιλικὸν φυγῇ καὶ ἥττῃ παρὰ
than-the army whole imperial in-flight and defeat by
βαρβάρων ἀπανθρώπων καὶ ἀποτόμων ἐλαύνεσθαι, καὶ τὸν
barbarians inhuman and severe to-be-driven and the
βασιλέα βαρβαρικοῖς ὅπλοις ἀβοήθητον περιεστοιχίσθαι,
emperor by-barbarian arms helpless to-have-been-surrounded
καὶ τὰς βασιλείους σκηνὰς καὶ τὰς ἡγεμονικὰς ἅμα
and the imperial tents and the leaders' at-the-same-time
καὶ στρατιωτικὰς ὑπὸ τοιούτων ἀνδρῶν κυριεύεσθαι, καὶ
and soldiers' by such men to-be-mastered and
ἅπαν ἀνάστατον τὸ Ῥωμαϊκὸν καθορᾶσθαι, καὶ βασιλείαν
all overturned the Roman(-state) to-be-seen and empire
ἐν ἀκαρεῖ κατανοεῖν συμπεσοῦσαν.
in instant to-perceive having-collapsed

163 Καὶ τὰ μὲν τοῦ λοιποῦ πλήθους ἐν τούτοις· τὸν
and the(-things) indeed of-the remaining multitude in these(-circumstances) the
δὲ βασιλέα περιστοιχίσαντες οἱ πολέμιοι οὐκ εὐχείρωτον
but emperor having-surrounded the enemies not easy-to-subdue

ἔσχον εὐθύς, ἀλλ᾽ ἅτε στρατιώτης καὶ πολεμικῆς ἐμπειρίας
had straightway but as soldier and of-warlike experience
εἰδήμων καὶ κινδύνοις προσομιλήσας πολλοῖς, καρτερῶς
knowing and with-dangers having-consorted many stoutly
ἠμύνατο τοὺς προσπίπτοντας, καὶ πολλοὺς ἀνελὼν
defended-against the(-men) falling-on and many having-killed
τέλος ἐπλήγη φασγάνῳ τὴν χεῖρα, τοῦ τε ἵππου βέλεσι
finally was-struck by-sword the hand the both horse with-missiles
κατακοντισθέντος ἐκ ποδὸς μαχόμενος ἵστατο. καμὼν δ᾽
having-been-shot-down on foot fighting stood having-wearied but
ὅμως πρὸς ἑσπέραν ἁλώσιμος καὶ ὑπόσπονδος, φεῦ τοῦ
nevertheless toward evening capturable and under-treaty alas for-the
πάθους, ἐγένετο. καὶ τῇ μὲν νυκτὶ ἐκείνῃ ἔτι, ἴσως τοῖς
suffering became and on-the indeed night that still equally with-the
πολλοῖς, ἐπὶ γῆς ἀτίμως καὶ περιωδύνως κατέδραθε,
many on ground dishonorably and very-painfully slept
μυρίοις πανταχόθεν καὶ ἀφορήτοις περικλυζόμενος τοῖς
by-countless from-all-sides and unbearable washed-round the
ἐκ τῶν λογισμῶν καὶ τῶν κατ᾽ ὄψιν ἀνιαρῶν κύμασι·
from the reasonings and the in sight grievous waves
τῇ δ᾽ ἐπαύριον ἀγγελθείσης τῷ σουλτάνῳ καὶ τῆς
on-the but next(-day) having-been-announced to-the sultan also the
τοῦ βασιλέως ἁλώσεως, χαρά τις ἄπλετος ὁμοῦ καὶ
of-the emperor capture joy some boundless together and
ἀπιστία κατέσχεν αὐτόν, οἰόμενον ὡς ἀληθῶς μέγα τι
disbelief held him thinking as truly great something
καὶ ὑπερμέγεθες εἶναι τὸ μετὰ τῆς ἥττης τοῦ βασιλέως
and overgreat to-be the after the defeat of-the emperor
καὶ αὐτὸν ἐκεῖνον δορυάλωτον καὶ οἰκέτην λαβεῖν. οὕτως
also him that spear-won and servant to-take so
ἀνθρωπίνως καὶ νουνεχῶς τὸ προτέρημα τῆς νίκης οἱ
humanly and sensibly the success of-the victory the

Τοῦρκοι ἐδέξαντο, μήτε μεγαλαυχήσαντες οἷα φιλεῖ περὶ
Turks received neither having-boasted as is-wont about
τὰς εὐτυχίας ὡς ἐπίπαν περιπολεῖν, μήτε τῇ οἰκείᾳ
the good-fortunes as on-the-whole to-go-round nor to-the own
δυνάμει τὸ γεγονὸς ἐπιτρέψαντες, ἀλλὰ τὸ πᾶν τῷ
power the(-thing) having-happened having-ascribed but the whole —
θεῷ ἀναφέροντες, ὡς μεῖζον ἢ κατὰ τὴν ἑαυτῶν ἰσχὺν
to-god referring as greater than according-to the their-own strength
ἀποτελέσαντες τρόπαιον. διὰ τοῦτο καὶ προσαχθέντος
having-accomplished trophy because-of this also having-been-brought
τῷ σουλτάνῳ τοῦ βασιλέως ἐν τῇ εὐτελεῖ καὶ στρατιωτικῇ
to-the sultan the emperor in the cheap and military
ἀμπεχόνῃ, καὶ αὖθις διαπορῶν ἦν καὶ μαρτυρίαν περὶ
garb also again being-at-a-loss he-was and testimony about
τούτου ζητῶν. ὡς δ' ἐπληροφορήθη παρά τε ἄλλων
this seeking when but he-was-assured by both others
καὶ τῶν εἰς αὐτὸν ἀφικομένων ποτὲ πρέσβεων, τὸν τῶν
and the to him having-come once envoys the of-the
Ῥωμαίων βασιλέα τυγχάνειν τὸν παριστάμενον, εὐθὺς
Romans emperor to-be the(-man) standing-by straightway
ἐξανέστη καὶ αὐτός, καὶ περιπτυξάμενος τοῦτον "μὴ δέδιθι"
rose-up also himself and having-embraced him not fear
ἔφη, "ὦ βασιλεῦ, ἀλλ' εὔελπις ἔσο πρὸ πάντων, ὡς οὐδενὶ
he-said O emperor but of-good-hope be before all-things that with-no
προσομιλήσεις κινδύνῳ σωματικῷ, τιμηθήσῃ δ' ἀξίως
you-will-meet danger bodily you-will-be-honored but worthily
τῆς τοῦ κράτους ὑπεροχῆς. ἄφρων γὰρ ἐκεῖνος ὁ μὴ
of-the of-the power eminence senseless for that(-man) the(-one) not
τὰς ἀπροόπτους τύχας ἐξ ἀντεπιφορᾶς εὐλαβούμενος."
the unforeseen fortunes from counter-reversal guarding-against
ἐπιτάξας οὖν αὐτῷ σκηνὴν ἀποτευχθῆναι καὶ θεραπείαν
having-ordered then for-him tent to-be-made and care

ἁρμόζουσαν, σύνδειπνον αὐτὸν αὐτίκα καὶ ὁμοδίαιτον
fitting table-companion him at-once and of-the-same-diet
ἀπειργάσατο, μὴ παρὰ μέρος καθίσας αὐτόν, ἀλλὰ
made not at side having-seated him but
σύνθρονον ἐν εὐθύτητι τῆς ἐκκρίτου τάξεως καὶ ὁμόδοξον
sharing-the-throne in straightness of-the select rank and of-equal-glory
κατὰ τὴν τιμὴν ποιησάμενος. οὕτω δὶς τῆς ἡμέρας
in the honor having-made so twice of-the day
συνερχόμενος τούτῳ καὶ συλλαλῶν, καὶ πρὸς παράκλησιν
meeting him and conversing and to consolation
ἀνακτώμενος διὰ πολλῶν ἐπᾳσμάτων ἀναγόντων εἰς τὴν
restoring through many charms leading-up to the
βιωτικὴν περιπέτειαν, μέχρις ἡμερῶν ὀκτὼ τῶν ὁμοίων
worldly reversal for days eight of-the same
αὐτῷ ἐκοινώνει καὶ λόγων καὶ ἁλῶν, μηδὲ μέχρι καὶ
with-him shared both of-words and of-salt not-even as-far-as even
βραχυτάτου λόγου πρὸς τοῦτον ἐμπεπαρῳνηκώς, ἢ
briefest word to him having-insulted except
ὅσον δοκούντων τινῶν σφαλμάτων ἐν τῇ ἐλάσει τῆς
as-much-as seeming some errors in the driving of-the
στρατιᾶς ὑπομνήσας, ὁπότε καὶ ἡ τοῦ θεοῦ κρίσις μετὰ
army having-reminded when also the — of-god judgment with
τῶν ἄλλων κἀνταῦθα δικαία καὶ ἀρρεπὴς κατεφάνη.
the others also-here just and unswerving appeared
οὐ γὰρ οἱ ἄλλοι μόνον ἀλλὰ καὶ αὐτὸς ὁ ἁλωθεὶς βασιλεὺς
not for the others only but also himself the captured emperor
ἄξιον εἶναι νικᾶν αὐτὸν ἀπεφήνατο, εἰ νόμον μὴ ἔχων
worthy to-be to-conquer him declared if law not having
ἀγαπᾶν τοὺς ἐχθροὺς ἀνεπαισθήτως ποιεῖ τὸν θεῖον νόμον
to-love the enemies imperceptibly he-does the divine law
ἐκ φυσικῆς καὶ ἀγαθῆς διαθέσεως· οὐ γὰρ τοῖς ὑπερόπταις
from natural and good disposition not for to-the arrogant

ὁ παντέφορος ὀφθαλμὸς ἀλλὰ τοῖς ταπεινοῖς καὶ συμπαθέσι
the all-overseeing eye but to-the humble and compassionate
τὸ κράτος χειροτονεῖ, ἐπεὶ μὴ ἔστι προσωποληψία, κατὰ
the power appoints since not is respect-of-persons according-to
τὸν θεῖον Παῦλον εἰπεῖν, παρὰ τῷ θεῷ. καὶ γὰρ ἔν τινι
the divine Paul to-say with — god and for in some
συλλόγῳ διερωτήσαντος τοῦ σουλτάνου τὸν βασιλέα "τί
gathering having-asked the sultan the emperor what
ἂν ἔδρασας εἰ οὕτως ἔσχες αὐτὸς ἐμὲ ὑποχείριον;"
— would-you-have-done if so had yourself me subject
ἀνυποκρίτως καὶ ἀθωπεύτως ἐκεῖνος ἀπήγγειλεν "ὅτι
unfeignedly and unflatteringly he replied that
πολλαῖς ταῖς πληγαῖς κατεδαπάνησά σου τὸ σῶμα
with-many the blows I-would-have-consumed your the body
γίνωσκε." ὁ δὲ "ἀλλ' ἐγώ" φησὶν "οὐ μιμήσομαί σου τὸ
know he but but I he-says not I-will-imitate your the
αὐστηρὸν καὶ ἀπότομον." διακαρτερήσαντες οὖν ἐν τούτοις
harshness and severity having-persevered then in these(-terms)
ἀμφότερον μέχρι τῶν δηλωθεισῶν ἡμερῶν, καὶ σπονδὰς
both as-far-as the declared days and treaties
ποιησάμενοι καὶ συνθήκας εἰρηνικάς, εἶτα καὶ κῆδος
having-made and compacts peaceful then also marriage-alliance
ἐπὶ τοῖς ἰδίοις παισὶ συστησάμενοι, μόνην δεξίωσιν
on the own children having-established only reception
ἁδρὰν τοῦ βασιλέως αὐτῷ προσομολογήσαντος ἐκεῖθεν
stout of-the emperor to-him having-promised from-there
ἀπ' ἀλλήλων διεχωρίσθησαν, ἀπολύσαντος αὐτὸν τοῦ
from one-another were-separated having-released him the
σουλτάνου σὺν πολλῇ τῇ περιπλοκῇ καὶ τῇ συντακτηρίῳ
sultan with much the embracing and the farewell

τιμῇ πρὸς τὴν οἰκείαν βασιλείαν, προσεπιδόντος δὲ καὶ τῶν
honor to the own empire having-given-besides but also of-the
Ῥωμαίων ὁπόσους ᾐτήσατο, καὶ πρέσβεις ἐκ τῶν οἰκείων.
Romans as-many-as he-asked and envoys from the own(-men)
Εἰς δὲ τὸ Μαντζικίερτ τὸ κάστρον φθάσαντες πολλοὶ τῶν 166
into but — Manzikert the fort having-arrived many of-the
Ῥωμαίων καταφυγεῖν κατεῖχον αὐτό. ὡς δ' ὁ βασιλεὺς
Romans to-take-refuge held it when but the emperor
ἐπανῆλθε, δι' ἄλλης ὁδοῦ ἀφέντες τοῦτο ἐκεῖνοι νυκτὸς
returned by other road having-left it they by-night
ἐξέφυγον. ἀφ' ὧν καί τινες πολεμίοις περιπεπτωκότες
escaped from whom also some with-enemies having-fallen-in
διεκινδύνευσαν· οἱ δ' ἄλλοι πρὸς τὰ σφέτερα διεσώθησαν.
ran-the-risk the but others to the their-own(-lands) were-saved
ὁ δὲ βασιλεὺς κατηντηκὼς εἰς Θεοδοσιούπολιν μετὰ
the but emperor having-arrived at Theodosioupolis with
Τουρκικῆς τῆς στολῆς, καὶ ὑποδεχθεὶς φιλοτίμως,
Turkish the dress and having-been-received lavishly
ἡμέρας τινὰς ἐκεῖσε διεκαρτέρησε, θεραπευόμενος μὲν
days some there persevered being-tended indeed
τὴν χεῖρα, συνδιαναπαύων δὲ καὶ τὸ ἄλλο σῶμα καὶ
the hand resting-with but also the other body and
ἀνακτώμενος, Ῥωμαϊκήν τε σκευὴν ἄρτι καινίζων, καὶ τὴν
recovering Roman both equipment just renewing and the
ἄλλην ἐκεῖσε κατασκευάζων ἐπίτευξιν διὰ τὸ μέλλειν
other there preparing provision because-of the to-be-about
εἰς τὰ πρόσω τῆς Ῥωμαίων χωρεῖν. ἄρας οὖν
to the(-parts) forward of-the of-Romans(-land) to-go having-set-out then
ἐκεῖθεν μετὰ βασιλικῆς τῆς σκευῆς τε καὶ προπομπῆς
from-there with imperial the equipment both and escort
διήει τὰς Ἰβηρικὰς κώμας, ὀλίγους πάνυ καταλαβὼν
passed-through the Iberian villages few very having-overtaken

τῶν φυγάδων τῆς μάχης στρατιωτῶν, οὓς καὶ αὐτοὺς
of-the fugitives of-the battle soldiers whom also them
μετὰ τῶν συνελευθερωθέντων εἶχε μεθ' ἑαυτοῦ. τὸ
with the(-men) freed-with(-him) he-had with himself the
δ' ἄλλο πλῆθος συνείλεκτο παρὰ τῶν προσοίκων τῶν
but other multitude had-been-gathered from the neighbors of-the
ἐκεῖσε κωμῶν τε καὶ πόλεων. συνῆσαν δὲ τούτῳ καὶ
there villages both and cities were-with but him also
πρέσβεις παρὰ τοῦ σουλτάνου προσεφοδιασθέντες αὐτῷ.
envoys from the sultan provided-besides to-him
167 Ταύτης οὖν τῆς φήμης αὐτήκοοι καὶ ἡμεῖς γεγονότες ἐν
this then the report hearers and we having-become in
Τραπεζοῦντι (ἐκεῖσε γὰρ κατηνέχθημεν, διαπόντιον τὴν
Trebizond there for we-had-been-brought-down overseas the
πορείαν ποιῆσαι σκεψάμενοι) ἀμήχανον ἅμα καὶ ἄπιστον
journey to-make having-considered impossible at-once and incredible
τὸ πρᾶγμα ἡγούμεθα, καὶ διὰ τοῦτο τὴν διὰ θαλάσσης
the affair we-thought and because-of this the by sea
ὁδὸν ἠνύομεν ἀμεταστρεπτί, πλοιάρια τῶν ἐγχωρίων
road we-accomplished without-turning-back little-boats of-the natives
ἱκανὰ μισθωσάμενοι. συνῆσαν γὰρ καὶ τῆς βασιλικῆς
sufficient having-hired were-with for also of-the imperial
αὐλῆς ἄνδρες ἐκ τῶν πρώτων τῆς συγκλήτου βουλῆς,
court men from the first of-the senatorial council
παραδόξως τὸν κίνδυνον συνδιαφυγόντες ἡμῖν. ἕτεροι
unexpectedly the danger having-escaped-with us others
δὲ κατεκόπησαν ἐν αὐτῷ τῷ πολέμῳ καὶ τῷ δρασμῷ,
but were-cut-down in itself the war and the flight
μεθ' ὧν καὶ Λέων ἐκεῖνος ὁ ἐπὶ τῶν δεήσεων,
with whom also Leo that the(-one) over the petitions
ἀνὴρ λόγῳ καὶ γνώσει διαφανέστατος, καὶ ὁ μάγιστρος
man in-speech and knowledge most-brilliant and the magistros

Εὐστράτιος, καὶ πρῶτος ἀσηκρῆτις ὁ Χοιροσφάκτης.
Eustratios and first asekretis — Choirosphaktes
ἑάλω δὲ καὶ ὁ πρωτοσβέστης Βασίλειος ὁ Μαλέσης,
was-captured but also the protovestes Basil — Maleses
τὰ πρῶτα φέρων τῷ βασιλεῖ, τὸ τοῦ λογοθέτου τῶν
the first(-places) holding with-the emperor the of-the logothete of-the
ὑδάτων ὀφφίκιον περιεζωσμένος, λόγῳ καὶ αὐτὸς καὶ
waters office girded-with in-speech also himself and
πείρᾳ πολλῶν ὑπερκείμενος.
in-experience many surpassing
Μέχρι μὲν οὖν τούτων ἀσύγχυτος ἡμῖν ὁ λόγος καὶ 167
up-to indeed then these-things unconfused for-us the account and
οἷον ἀπερικτύπητος καὶ ὁμαλώτερον βαίνων, κἂν εἰ
as-it-were unclamorous and more-evenly going even if
καὶ προσάντεις εἶχε καὶ οἰκτρὰς τὰς ἐπεξηγήσεις. τὸ
also uphill it-had and pitiable the narrations the(-time)
δ' ἀπὸ τοῦδε τίς ἂν κατὰ μέρος τὸ πλῆθος τῶν
but from this who — in part the multitude of-the
ἐπισυμβάντων χαλεπῶν διηγήσαιτο; οὐ πρόσαντες ἡμῖν
having-happened grievous(-things) could-narrate not uphill for-us
τὸ προκείμενον μόνον, ἀλλὰ καὶ λίαν ἀπρόσβατον
the(-matter) lying-ahead only but also very inaccessible
διὰ τὴν τῶν γενομένων ἀπηνῆ σκυθρωπότητα.
because-of the of-the having-happened harsh gloom
Ἤλαυνε μὲν οὖν ὁ βασιλεὺς ἐξ ἑώας πρὸς τὴν 168
drove indeed then the emperor from east to the
ἑσπέραν μέχρι Κολωνείας αὐτῆς· ἐπὰν δὲ γένοιτο ἐντὸς
west as-far-as Koloneia itself when but he-came inside
τοῦ Μελισσοπετρίου (κάστρον δὲ τοῦτο ἐπί τινος λόφου
— Melissopetrion fort but this on some hill
κείμενον), ἤρξαντο τούτῳ προσομιλεῖν τὰ δεινά. ὁ
lying began him to-meet the terrible(-things) the

γὰρ σύμβουλος αὐτῷ καὶ πρῶτα τῇ στρατηγίᾳ Παῦλος
for counselor to-him and first in-the generalship Paul
πρόεδρος, ὃν ἀπὸ τοῦ κατεπανικίου τῆς Ἐδέσσης
proedros whom from the katepanate — of-Edessa
μεταπεμψάμενος ὁ βασιλεὺς ἐν τῷ πρὸς Πέρσας ἐλαύνειν
having-summoned the emperor in the against Persians to-drive
εὗρεν ἐν Θεοδοσιουπόλει σχεδιάζοντα τὴν ταύτης ἀρχὴν
found in Theodosioupolis improvising the its command
διὰ τὸ τὸν δοῦκα προαλωθῆναι μετὰ τοῦ βασιλέως,
because-of the the duke to-have-been-captured-before with the emperor
καὶ πάντα ἐδόκει αὐτῷ συναιρόμενον, νύκτωρ διαδρὰς
and all-things seemed to-him assisting by-night having-run-away
τὴν βασιλίδα κατέλαβε, μαθὼν τὰ γεγενημένα
the queen-city reached having-learned the(-things) having-happened
κατ᾽ αὐτὴν καὶ τὴν τῆς Αὐγούστης προαίρεσιν. αὕτη γὰρ
in it and the of-the Augusta choice she for
ἀπογνοῦσα τὴν τοῦ βασιλέως ἀπόλυσιν μετεπέμψατο
having-despaired-of the of-the emperor release summoned
μὲν καὶ τὸν τοῦ πρώτου ἀνδρὸς καὶ βασιλέως ὁμαίμονα
indeed also the of-the first husband and emperor brother
Ἰωάννην τὸν Καίσαρα μετὰ δύο αὐτοῦ υἱῶν, ὧν ὁ εἷς
John the Caesar with two his sons of-whom the one
ὁ Ἀνδρόνικος νέηλυς ἦν ἐκ τῆς στρατιᾶς καταλαβὼν
— Andronikos newly-come was from the army having-arrived
ἐν φυγῇ, διεπέμψατο δὲ καὶ δόγματα πρὸς πάσας τὰς
in flight sent-round but also decrees to all the
ἐπαρχίας, μὴ ὅλως ἀπαντῆσαι τῷ Διογένῃ διαταττόμενα
provinces not at-all to-meet — Diogenes ordering
καὶ τὴν βασιλικὴν τούτῳ προσκύνησιν προσενεγκεῖν καὶ
and the imperial to-him obeisance to-offer and
τιμήν. ἀλλὰ τοῦ Καίσαρος εἰσιόντος μετὰ τῶν δύο
honor but the Caesar entering with the two

υἱέων καὶ τῇ βασιλίδι προσμίξαντος ἐν τῷ παλατίῳ,
sons and with-the empress having-joined in the palace
μεταστρέφεται κατ᾽ αὐτῆς ἡ βουλὴ τῆς τοῦ ἀνδρὸς
is-turned against her the counsel of-the of-the husband
ἀποκηρύξεως καὶ διώξεως. διὸ καὶ τὸν μὲν πρῶτον
proscription and pursuit wherefore also the indeed first
υἱὸν αὐτῆς, ὃν ἐκ τῆς τοῦ Δούκα συναφείας ἀπέτεκεν,
son her whom from the — of-Doukas union she-bore
αὐτοκράτορα καὶ δεσπότην φημίζουσιν, ἐν τῷ τοῦ
sole-emperor and lord they-proclaim in the of-the
χρυσοτρικλίνου βασιλείῳ θρόνῳ καθιδρύσαντες αὐτόν, καὶ
Chrysotriklinos imperial throne having-seated him and
τὴν ἀρχὴν ἐγχειρίζουσι μόναρχον· τήν τε δέσποιναν καὶ
the rule entrust as-sole-ruler the both mistress and
μητέρα τούτου καθαιροῦσι μετὰ σφοδρᾶς τῆς ἐπιφορᾶς,
mother his they-depose with vehement the onset
εἶτα καὶ πλοίῳ παραδόντες ὑπερόριον τίθενται κατὰ τὸν
then also to-ship having-handed-over abroad they-set by the
ἑῷον πορθμόν, ὃν Στενὸν οἱ πολῖται κατονομάζουσιν
eastern strait which Narrow the citizens name
ἐκ τῆς θέσεως, ἐγκαταστήσαντες ταύτην τῷ παρ᾽
from the position having-installed her in-the by
αὐτῆς συστάντι φροντιστηρίῳ καὶ λεγομένῳ Πιπερούδη,
her founded monastery and called Piperoudes
μελαμφοροῦσαν ἐπαποδείξαντες καὶ κεκαρμένην τὰς
black-clad having-shown and shorn the
τρίχας, καὶ τῷ τάγματι τῶν μοναζουσῶν καταζεύξαντες.
hair and to-the order of-the nuns having-yoked

Romanos held Dokeia while the Caesar's son Constantine marched against him; his Cappadocians under Theodore Alyates were routed by the Frank Crispin, and Alyates was blinded. Chatatourios of Antioch joined Romanos, who wintered in Cilicia, but the Caesar's son Andronikos found the passes unguarded, captured Chatatourios, and besieged Adana. Romanos surrendered on oaths and took the habit, but at Kotyaeion a Jew blinded him; he died soon after and was buried on Prote. Attaleiates rebukes Michael for the crime and praises Romanos's patience.

169 Ὁ δ' οὖν Διογένης μέχρι τοῦ θέματος τῶν Ἀρμενιακῶν
— but then Diogenes as-far-as the theme of-the Armeniakoi
προϊών, ἐπεὶ τὰ κατ' αὐτὸν ἐπληροφορήθη, καὶ
advancing when the(-things) concerning him he-was-assured-of and
ὡς τοῖς πολίταις καὶ τοῖς ἀνακτόροις ἐπικεκήρυκται,
that to-the citizens and the palace he-has-been-proclaimed
φρούριόν τι κατασχὼν Δόκειαν κατονομαζόμενον ἐκεῖσε
fortress some having-seized Dokeia named there
κατεστρατοπεδεύσατο. ὁ δὲ Καῖσαρ καὶ ὁ τὰ σκῆπτρα
encamped the but Caesar and the the scepters
νέον ἐγχειρισθεὶς τούτου ἀνεψιός, μετὰ τὸ πάντα τὰ
newly having-been-entrusted his nephew after the all the(-things)
κατὰ τὴν βασιλεύουσαν διαθεῖναι κατὰ τὸ βεβουλευμένον
in the reigning-city to-arrange according-to the resolved
αὐτοῖς, καὶ τοὺς μὲν τῆς συγκλήτου βουλῆς οἰκειώσασθαι
by-them and the(-men) indeed of-the senatorial council to-win-over
καὶ τιμᾶν αὐτοὺς προκατάρξασθαι, πρὸς δὲ τοὺς
and to-honor them to-begin-first to but the(-men)
τῆς ἀγορᾶς τὰ συνήθη δημηγορῆσαι καὶ ὡς τὴν
of-the marketplace the customary(-things) to-harangue and that the
πατρῴαν βασιλείαν ψήφῳ θεοῦ εἰς ἑαυτὸν ἀνεκτήσατο, καὶ
paternal empire by-vote of-god to himself he-had-recovered and

ὑποσχέσεσι φιλανθρώποις εὐέλπιδας τούτους ποιήσασθαι,
by-promises kindly hopeful them to-make
στρατιὰν πέμψαι κατὰ τοῦ Διογένους ἐσκέψαντο.
army to-send against — Diogenes considered
καὶ στρατηγὸν αὐτοκράτορα προχειρισάμενοι τῶν τοῦ
and general sole-commanding having-appointed of-the of-the
Καίσαρος υἱῶν ἕνα, Κωνσταντῖνον ὀνόματι, τὸ ἀξίωμα
Caesar sons one Constantine by-name the dignity
πρωτοπρόεδρον, τοὺς παρατυχόντας τῶν στρατιωτῶν
protoproedros the(-men) happening-by of-the soldiers
αὐτῷ ἐγχειρίζουσι, καὶ ταχέως τῆς βασιλευούσης
to-him entrust and quickly from-the reigning-city
ἐκπέμπουσιν· ὃς καὶ ἄλλους τῶν ἐπαρχιῶν συλλεξάμενος,
send-out who also others from-the provinces having-gathered
οὓς δὲ καὶ διὰ γραμμάτων βασιλικῶν ἑαυτῷ
others but also through letters imperial to-himself
συστησάμενος, ἀδράν τινα δύναμιν ἔδοξε συναγηοχέναι,
having-enlisted stout some force seemed to-have-gathered
καὶ πλησίον τοῦ κρησφυγέτου τῆς Δοκείας τὸν χάρακα
and near the refuge — of-Dokeia the palisade
ἔθετο. προσερρύησαν δὲ τῷ Διογένῃ τῶν Φράγγων οἱ
set went-over but — to-Diogenes of-the Franks the
πλείους, κἀκ τούτου ἔχειν τὸ ἰσχυρὸν προσεδόκα.
most and-from this to-have the strength he-expected
ἔκτοτε οὖν παροδικαὶ μάχαι τοῖς μέρεσι διερρήγνυντο·
thenceforth then passing battles in-the parts broke-out
οὐδεμία δ᾽ αὐτοτελὴς τὴν ἔκβασιν ἔκρινε, συναπτομένων
none but complete the outcome decided engaging
ἀλλήλοις κατ᾽ ἄνδρας καὶ αὖθις ἀπαλλαττομένων τῶν
one-another by men and again parting the
ἀντιθέτων στρατιωτῶν. ὡς δὲ πολλοὺς τῶν Καππαδοκῶν
opposing soldiers when but many of-the Cappadocians

ὁ βασιλεὺς κηρύγμασί τε καὶ γράμμασι μετεπέμψατο,
the emperor by-proclamations both and by-letters summoned
ὧν ἦρχε Θεόδωρος πρόεδρος ὁ Ἀλυάτης, ἀνὴρ γένους
whom led Theodore proedros — Alyates man of-family
ἐπιφανοῦς τὰ πολεμικὰ καὶ θεαθῆναι θαυμασιώτατος,
illustrious in-the warlike(-things) and to-be-seen most-marvelous
μεγέθει καὶ ὄγκῳ τῶν πολλῶν διαφέρων καὶ ἱκανῶς ἐν
in-size and bulk the many excelling and sufficiently in
πολλοῖς στρατευσάμενος, ἔδοξεν ὁ Διογένης πολὺ τῶν
many having-campaigned seemed — Diogenes much the
ἐναντίων προέχειν, καὶ ταχὺ τοῦ τῆς Δοκείας ἄρας
opponents to-surpass and quickly from-the — of-Dokeia having-set-out
φρουρίου πρὸς τὴν τῶν Καππαδοκῶν ἤλαυνεν, ἐξ ἧς
fortress to the(-land) of-the Cappadocians drove from which
περ αὐτὸς τὴν γένεσιν ἔσχηκεν. ἀλλ' οἱ τῆς μοίρας
indeed he the birth had but the(-men) of-the portion
τοῦ τὴν βασιλείαν ἐν Κωνσταντινουπόλει κατέχοντος,
of-the(-man) the empire in Constantinople holding
παρὰ δόξαν προσθήκην δεξάμενοι κατὰ τὴν νύκτα ἐκείνην,
beyond expectation addition having-received in the night that
οὐ πολὺ τὸ ἔλαττον ἀπενέγκασθαι διεγνώκεσαν. κατέλαβε
not much the less to-carry-off had-decided reached
γὰρ αὐτοὺς μεθ' ἑτέρων ἐκ τῆς βασιλίδος ἀποσταλεὶς
for them with others from the queen-city sent
σύμμαχος ὁ Φράγγος ἐκεῖνος Κρισπῖνος ὃν ὁ Διογένης
ally the Frank that Crispin whom — Diogenes
μὲν ἐπ' αἰτίαις ἀποστασίας καθελὼν ἐκ τῆς στρατιᾶς
indeed on charges of-revolt having-removed from the army
ὑπερόριον εἰς Ἄβυδον ἐποιήσατο, ὁ δ' ἀντιβασιλεύσας
banished to Abydos made the but having-reigned-against
ὕστερον Μιχαὴλ ἐκ τῆς ὑπερορίας μεταγαγὼν
later Michael from the exile having-brought-back

εὐεργεσίαις καὶ τιμαῖς κατελάμπρυνε καὶ πρὸς τὴν
with-benefactions and honors made-splendid and to the
ἑαυτοῦ ἀνέρρωσεν εὔνοιαν. οὗτος οὖν γενναιότατος κατὰ
his-own strengthened goodwill he then most-noble in
χεῖρα τελῶν, καὶ ἀλκιμώτατος, εἴπερ τις ἀνθρώπων,
hand being and most-valiant if-indeed anyone of-men
δοκῶν διὰ τὸ πεῖραν δοῦναι τῆς ἑαυτοῦ δοκιμότητος
seeming because-of the trial to-have-given of-the his-own worth
ἐκ τῶν φθασάντων αὐτοῦ ἀνδραγαθημάτων, πολλὴν
from the earlier his brave-deeds much
ἐνέσταξε προθυμίαν τοῖς στρατιώταις, ἐν ὥρᾳ καταλαβὼν
instilled eagerness in-the soldiers in season having-arrived
πολεμικῆς ἐπιδόσεως. διὰ ταῦτά τοι καὶ ἄραντος
of-warlike increase because-of these-things in-truth also having-set-out
ἐκ Δοκείας τοῦ Διογένους ἐπεφάνησαν καὶ οἱ τοῦ
from Dokeia — Diogenes appeared also the(-men) of-the
βασιλέως τὰς σημαίας ὑπερτεταμένας ἐκφέροντες. ἀλλ' ὁ
emperor the standards stretched-high carrying but —
Ἀλυάτης τούτων κατεπαρθείς, πολλοὺς τῶν στρατιωτῶν
Alyates against-them having-risen-up many of-the soldiers
συναγηοχώς, πόλεμον τούτοις προσέμιξεν. ἐρρωμένως δὲ
having-gathered war on-them joined stoutly but
ἀντιταξαμένων αὐτῶν, καὶ μᾶλλον ἐπιφημισθέντος
having-been-drawn-up-against they and rather having-been-rumored
τοῦ Κρισπίνου παρεῖναι καὶ τοῖς Φράγγοις τῇ πατρίῳ
— Crispin to-be-present and to-the Franks in-the ancestral
διαλεχθέντος φωνῇ, πρὸς φυγὴν οἱ τοῦ Ἀλυάτου
having-spoken tongue to flight the(-men) — of-Alyates
ἀτάκτως ὥρμησαν· ἀφ' ὧν τινὲς μὲν ἀκοντίοις ἀπέθανον,
disorderly rushed from whom some indeed by-javelins died
ἁλοὺς δ' αὐτὸς τοὺς ὀφθαλμοὺς ἐξεκόπη, μετὰ
having-been-captured but he the eyes was-gouged-out with

σκηνικῶν σιδήρων περιωδύνως τὰς ὁράσεις ἀποβαλών.
tent irons very-painfully the sight having-lost
ὅπερ πολλὴν ἐνῆκε τοῖς στρατιώταις ἀνίαν διὰ τὸ
which much put-in the soldiers grief because-of the
τοῦ ἀνδρὸς ἐπίσημον κατὰ γένος καὶ γενναιότατον.
of-the man distinction in family and most-noble(-nature)
171 Περιώδυνος δ' ὁ Διογένης ἐκ τῆς φήμης γενόμενος, ὅμως
very-pained but — Diogenes from the report having-become nevertheless
τὸ λοιπὸν ἄγων πλῆθος εἰς τὴν Καππαδοκῶν ἐνέβαλε γῆν·
the remaining leading multitude into the of-Cappadocians invaded land
καὶ εἴς τι φρούριον ἀνιὼν Τυροποιὸν οὕτως ὀνομαζόμενον,
and to some fortress going-up Tyropoion so named
ἐπὶ λόφου κείμενον ὀχυροῦ, ἐκαραδόκει τὸ μέλλον,
on hill lying strong awaited the future
πανταχόθεν ἐπικαλούμενος στρατιώτας εἰς τὴν ἑαυτοῦ
from-all-sides calling-on soldiers for the his-own
ἀρωγήν. ἐπεὶ δὲ παρὰ τοῦ τὴν Βύζαντος βασιλεύοντος
aid when but by the(-man) the of-Byzas(-city) ruling
μετεπέμφθη ὁ τῆς μεγάλης Ἀντιοχείας κατεπάνω,
was-summoned the of-the great Antioch katepano
Χατατούριος ἐπονομαζόμενος, ἐξ Ἀρμενίων δ' ἕλκων τὸ
Chatatourios named from Armenians but drawing the
γένος, καὶ προσετάγη πόλεμον τῷ Διογένῃ ἐπενεγκεῖν,
race and was-ordered war — on-Diogenes to-bring
ἀφίκετο μὲν εἰς Τυροποιὸν μετὰ πολλῆς τῆς δυνάμεως
came indeed to Tyropoion with much the force
ἱππέων τε καὶ πεζῶν, κατοικτισάμενος δὲ τὸν Διογένην
of-horsemen both and foot having-pitied but — Diogenes
τῆς τύχης, καὶ ἅμα χάριτας τούτῳ προσομολογεῖν
for-the fortune and at-the-same-time thanks to-him to-acknowledge
ἔχων ὡς παρ' ἐκείνου τὴν ἀρχὴν τῆς Ἀντιοχείας λαβών,
having as from him the command — of-Antioch having-received

συνέθετο τούτῳ καὶ τῆς ἐκείνου μοίρας ἐγένετο, καί
made-terms with-him and of-the his portion became and
τινας τῶν στρατιωτῶν, οἷς ἐκ βασιλέως διώριστο
some of-the soldiers to-whom by emperor it-had-been-ordered
συνάρασθαι τούτῳ τῶν κατὰ Διογένους μόθων, τῶν ἵππων
to-share with-him the against Diogenes battles of-the horses
ἀποστερήσας καὶ τῆς ἄλλης ἀποσκευῆς γυμνοὺς ἐκεῖθεν
having-deprived and of-the other baggage naked from-there
ἀπήλασεν. εἶτα μικρόν τι διαλιπὼν σὺν τῷ βασιλεῖ καὶ
drove-off then little something having-waited with the emperor and
τοῖς ἀμφ' αὐτὸν στρατιώταις εἰς τὴν τῶν Κιλίκων χώραν
the about him soldiers into the of-the Cilicians land
διέζευξεν, ὁμοῦ μὲν παραχειμασίαν ἐν αὐτῇ ποιησόμενος
broke-camp at-once indeed wintering in it going-to-make
(παρήμειπτο γὰρ τὸ φθινόπωρον), ὁμοῦ δὲ δύναμιν ἑτέραν
had-passed for the autumn at-once but force other
ἐν τῷ ἀσφαλεῖ συλλεξόμενος καὶ τοὺς ἀπὸ τοῦ σουλτάνου
in the safety going-to-gather and the(-men) from the sultan
πεμφθησομένους μετὰ διορίαν τοιαύτην καταλαβεῖν.
going-to-be-sent after term such to-receive
Ἔλαθον δὲ τὸ ἧττον αἱρετισάμενοι καὶ τὰ χείρω 172
they-escaped-notice but the worse having-chosen and the worse(-things)
καθ' ἑαυτῶν βουλευσάμενοι. τοῦ γὰρ τροπωσαμένου
against themselves having-planned the(-man) for having-routed
τὴν πρώτην τὸν Διογένην ἐν τῇ κατὰ τὸν Ἀλυάτην
the first(-time) — Diogenes in the against — Alyates
συμβολῇ τῇ βασιλίδι ἐπαναστρέψαντος, διεσκορπίσθη
engagement to-the queen-city having-returned was-scattered
ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικὸν ὡς τοῦ χειμῶνος
all the with him soldiery as the winter
ἐγγίσαντος, καὶ ἦν εὐχερὲς τοῖς ἀμφὶ τὸν Διογένην
having-approached and it-was easy for-the(-men) about — Diogenes

μετὰ τοσούτου πλήθους εἰς τὴν Ῥωμαίων ἐμβαλεῖν,
with so-great multitude into the of-Romans(-land) to-invade
ὅσῃ κατὰ Πισιδίαν καὶ Ἰσαυρίαν καὶ αὐτὴν Λυκαονίαν,
as-much-as in Pisidia and Isauria and itself Lykaonia
εἰς αὐτήν τε τῶν Παφλαγόνων καὶ Ὀνωριάδα, καὶ πάντας
into itself both of-the Paphlagonians and Honorias and all
τῷ πλήθει βιάσασθαι γενέσθαι ὑφ᾽ ἑαυτόν, εἶτα καὶ εἰς
by-the multitude to-force to-become under himself then also into
Βιθυνίαν εἰσδῦναι, καὶ πᾶσαν ἄδειαν ἐμφράξαι τοῖς
Bithynia to-enter and all license to-block for-the(-men)
ἐκ τοῦ Βύζαντος στρατιώτας κατ᾽ αὐτοῦ συναγεῖραι καὶ
from the Byzas(-city) soldiers against him to-raise and
πόλεμον ἐπεγεῖραι τούτῳ ἄξιον λόγου καὶ πράγματος·
war to-rouse against-him worthy of-account and deed
οἱ γὰρ τῆς ἑσπέρας στρατιῶται τὴν κατ᾽ αὐτοῦ
the for of-the west soldiers the against him
ἐξομόσαντες ἀπιστίαν διὰ τὸ προκατασφαλισθῆναι
having-abjured faithlessness because-of the to-have-been-secured-before
ὅρκοις μὴ ἄν ποτε συμφρονῆσαι τοῖς κατ᾽ αὐτοῦ
by-oaths not — ever to-conspire with-the(-men) against him
γενησομένοις *** νῦν δὲ μὴ καλῶς βουλευσάμενος
going-to-be (lacuna) now but not well having-planned
κακοῖς ἀπλέτοις καὶ περιωδύνοις *** πράγμασιν.
in-evils boundless and very-painful (lacuna) affairs
ἐμβαλὼν γὰρ εἰς τὴν τῶν Κιλίκων χώραν, δυσδιοδεύτους
having-invaded for into the of-the Cilicians land hard-to-pass
αὐλῶνας ἔχουσαν ἐκ τῶν Ταύρου ὀρῶν, ἔμενε
valleys having from the of-Tauros mountains he-remained
κατὰ χώραν ὥσπερ ἑαυτὸν ἐγκαθείρξας ἐπὶ τῷ μένειν
in place as-if himself having-imprisoned for the to-remain
ἀπρόιτον, ἄδειαν δὲ τοῖς ἀντιτεταγμένοις παρέσχεν
not-going-out license but to-the(-men) drawn-up-against gave

ἀδεῶς στρατιώτας ἀγείρειν καὶ τὸν πολεμικὸν ποιεῖσθαι
fearlessly soldiers to-gather and the military to-make
κατάλογον. ἐκπεμφθεὶς γὰρ ὁ ἕτερος τῶν υἱέων τοῦ
roll having-been-sent-out for the other of-the sons of-the
Καίσαρος Ἀνδρόνικος πρωτοπρόεδρος, καὶ προβληθεὶς
Caesar Andronikos protoproedros and having-been-appointed
δομέστικος τῆς ἀνατολῆς, ἐν παρασκευῇ πάντας τοὺς
domestikos of-the east in preparation all the
στρατιώτας πεποίηκε, σιτηρέσια διανείμας αὐτοῖς καὶ
soldiers made allowances having-distributed to-them and
κατὰ μικρὸν ἅπαντας προοικειωσάμενος, συναιρομένου
by little all having-won-over-first assisting
τοῦ Κρισπίνου. καὶ οὕτως μετὰ τὸ συστῆσαι τὴν ὅλην
— Crispin and so after the to-assemble the whole
σύνταξιν τῶν δυνάμεων προῄει κατὰ τοῦ Διογένους ὡς
array of-the forces advanced against — Diogenes as
τῆς Κιλίκων ἐπιβησόμενος, καὶ τὴν συνήθη κλεισοῦραν
the(-land) of-Cilicians going-to-enter and the usual pass
τὴν τοῦ λεγομένου καταλιπὼν Ποδαντοῦ διὰ τῆς τῶν
the of-the called having-left Podandos through the(-land) of-the
Ἰσαύρων εἰς ταύτην ἐνέβαλεν, οὐ πάνυ τι ἀπεχούσης
Isaurians into it invaded not very at-all being-distant
τῆς τῶν Ταρσῶν πόλεως. δυσδιεξόδευτοι δ' ὄντες καὶ
the of-the Tarsians city hard-to-pass but being and
τραχεῖς καὶ ἀνάντεις καὶ λίαν στενόποροι οἱ διατειχίζοντες
rugged and steep and very narrow the walling-off
τῶν ὀρῶν αὐχένες τὴν Κιλικίαν οὐ μετρίαν ἐποίουν
of-the mountains necks — Cilicia not moderate made
οὐδ' εὔοδον τῷ στρατῷ τὴν εἰσέλευσιν. ὅθεν καὶ εἴ
nor easy the army the entrance whence also if
τινες τῶν τοῦ Διογένους τὰς ἀκρωρείας κατεῖχον,
some of-the(-men) — of-Diogenes the ridges had-held

καὶ μᾶλλον ἐκηβόλοι καὶ τοῖς ποσὶν ἐπιβαίνοντες, οὐκ
and rather far-shooting and on-the feet going not
ἂν ἠδυνήθη ποτὲ τὸ τοῦ Ἀνδρονίκου στρατόπεδον
— would-have-been-able ever the — of-Andronikos army
τὴν πορείαν διὰ τούτων ποιήσασθαι, εἰ μὴ καὶ μᾶλλον
the march through these to-make if not also rather
δέους ἐπειγομένου τοῖς στρατιώταις πρὸς φυγὴν ὥρμησαν.
fear pressing on-the soldiers to flight they-rushed
τούτου δὲ παραμεληθέντος εἰς κίνδυνον περιέστη τῷ
this but having-been-neglected into danger came-round —
Διογένῃ τὰ πράγματα. μετὰ γὰρ τὸ κατελθεῖν εἰς τὸ
for-Diogenes the affairs after for the to-come-down into the
πεδίον τὸν σὺν τῷ Ἀνδρονίκῳ στρατὸν ὁ Χατατούριος
plain the with — Andronikos army — Chatatourios
ἐπελθὼν πόλεμον τούτοις συνέρρηξεν. οὐ διὰ πολλῆς
having-attacked war with-them joined not through much
δὲ γενομένου τῆς ὥρας αὐτοῦ ὡς ἂν τῶν Ῥωμαϊκῶν
but having-happened the hour of-it as — of-the Roman
δυνάμεων τῷ τε πλήθει καὶ τῇ ἀρετῇ ὑπερεχουσῶν,
forces in-the both multitude and the valor excelling
πεσὼν ἐκ τοῦ ἵππου ὁ Χατατούριος πεζὸς ἑάλω,
having-fallen from the horse — Chatatourios on-foot was-captured
καὶ τῷ στρατηγοῦντι παρέστη γυμνὸς καὶ ἐλεεινὸς
and to-the(-man) commanding stood naked and pitiable
τῇ παρούσῃ τύχῃ καὶ τῇ ἐλπίδι τῶν μελλόντων κακῶν.
in-the present fortune and the expectation of-the future evils
τῶν δ' ἄλλων συμφυγόντων εἰς τὸ τῆς Ἀδάνης κάστρον,
of-the but others having-fled-together into the — of-Adana fort
ἐν ᾧ περ ὁ Διογένης ἐκάθητο, πολιορκία τὴν τοιαύτην
in which indeed — Diogenes was-sitting siege the such
πόλιν ἀκριβῶς διεδέξατο· περικαθίσαντες γὰρ αὐτὴν οἱ
city strictly took-over having-sat-around for it the

μετὰ τοῦ Ἀνδρονίκου Ῥωμαῖοι σπάνει τῶν ἀναγκαίων
with — Andronikos Romans by-scarcity of-the necessities
τοὺς ἔνδον οὐκ εἰς μικρὰν τὴν ἀγωνίαν ἐνέβαλον.
the(-men) inside not into small the anguish threw
τέως δ᾽ οὖν περὶ σπονδῶν διαλεχθέντων ἀλλήλοις,
meanwhile but then about treaty having-discussed with-one-another
συνέδοξεν ἀποθέσθαι μὲν τὴν βασιλείαν τὸν Διογένην,
it-seemed-good to-lay-down indeed the empire — Diogenes
συναποθέσθαι δὲ καὶ τὴν τρίχα, καὶ οὕτω τὸν βίον ἕλκειν
to-lay-down-with but also the hair and so the life to-drag
ἄχρι βιοτῆς ἁπάσης τοῖς μοναχοῖς συγκαταλεγόμενον.
through life all with-the monks being-counted-among
Γέγονε τοῦτο, καὶ μετὰ μικρὸν ἐξῆλθε τοῦ κάστρου 175
happened this and after little went-out from-the fort
μελανειμονῶν καὶ τὰ καθ᾽ ἑαυτὸν ὡς ἔσχεν
black-clad and the(-things) concerning himself as he-had
ἀποκλαιόμενος, ὅτε καὶ πολλοῖς εἰσῄει δριμὺς καὶ
bewailing when also into-many entered bitter and
ἀκάθεκτος ἐπὶ τοῖς ὁρωμένοις φόβος καὶ ἔλεος,
uncontrollable at the(-things) seen fear and pity
λογιζομένοις τὸ ἄστατον τῶν πραγμάτων καὶ πρὸς
reckoning the instability of-the affairs and toward
ἐναντιότητα περιπετὲς καὶ ὀξύρροπον. ἦσαν γὰρ ἅπαντες
contrariety reversible and quick-turning were for all
οἱ τούτῳ πολλάκις συστρατευσάμενοι καὶ δορυφόρων
the(-men) him often having-campaigned-with and of-bodyguards
τάξιν πληρώσαντες, καὶ τὸ κράτος αὐτῷ περιφημίζοντες
rank having-filled and the power to-him acclaiming
ὄλβιον, καὶ προσιτοὶ γενέσθαι τούτῳ δι᾽ εὐχῆς ὅτι μεγίστης
blessed and accessible to-become to-him in prayer as greatest
ποιούμενοι, εἶτα καὶ συνεξελθόντες αὐτῷ ἐκ Συρίας καὶ τῇ
making then also having-come-out-with him from Syria and —

Ἀδάνῃ ἐμβαλόντες, βασιλικῶς δουλικῶς προσεδρεύσαντες.
Adana having-entered royally servilely having-attended
ἀναπεμπαζόμενοι τοίνυν τήν τε προτέραν εὐτυχίαν καὶ
reckoning-up therefore the both former good-fortune and
τὴν παροῦσαν ἀτυχίαν, ὅπως εἰς ἄκρον ἐναντιότητος
the present misfortune how to extreme of-contrariety
ἥκασι, κατηφιῶντες ἦσαν καὶ ἀμηχανοῦσιν ἐῴκεσαν.
they-have-come downcast were and to-men-at-a-loss resembled
νόστου δ' ἐπιμνησθέντος τοῦ στρατηγοῦ, ἐπανήρχετο μὲν
of-return but having-been-mindful the general returned indeed
ἡ στρατιὰ τὴν ἐπ' οἶκου ἐλαύνουσα, παρεπέμπετο
the army the(-road) to home driving was-escorted
δὲ καὶ ὁ Διογένης, εὐτελεῖ τῷ ὑποζυγίῳ καὶ μοναχικῷ
but also — Diogenes on-cheap the beast-of-burden and monastic
καταστήματι δι' ἐκείνων τῶν κωμῶν καὶ τῶν χωρῶν
attire through those the villages and the lands
πορευόμενος, δι' ὧν τὸ πρόσθεν μετὰ βασιλικῆς
going through which the before with imperial
τῆς δορυφορίας ἰσόθεος ἐγνωρίζετο. μέχρι δὲ τοῦ
the bodyguard godlike he-was-known as-far-as but —
Κοτυαείου τὴν πορείαν ὀδυνηρῶς ποιησάμενος (καὶ γὰρ
Kotyaeion the journey painfully having-made and for
νοσηλευόμενος ἦν ἀπὸ κοιλιακῆς διαθέσεως, ἥτις ἐκ
being-sick he-was from intestinal disorder which from
κωνείου τούτῳ κατασκευασθέντος παρὰ τῶν ἐναντίων
hemlock for-him prepared by the opponents
ἐπιγενέσθαι ἐλέγετο) κατεσχέθη παρὰ τῶν ἀγόντων
to-have-come-on was-said he-was-held by the(-men) leading
αὐτόν, ἕως ἐκ βασιλέως πρόσταξίς τις ἐπιφοιτήσει
him until from emperor command some should-come
τὸ ποιητέον περὶ αὐτοῦ ἐπιτάττουσα. ἀλλ' ἦκεν
the(-thing) to-be-done about him ordering but came

ἡμέραις ὕστερον ἡ πάντων ἀπηνεστέρα καὶ ἀποφημοτέρα
in-days later the of-all harsher and more-ill-omened
κατὰ τοῦ τὰ τοιαῦτα δεδυστυχηκότος ἀπόφασις,
against the(-man) the such(-things) having-suffered-misfortune sentence
διοριζομένη τοὺς ὀφθαλμοὺς τούτου παραυτίκα διορυγῆναι.
ordaining the eyes his at-once to-be-gouged-out
Τί φῄς, ὦ βασιλεῦ καὶ οἱ σὺν σοὶ τὴν ἀνοσίαν βουλὴν 176
what say-you O emperor and the(-men) with you the unholy counsel
κατασκευασάμενοι. ἀνδρὸς ὀφθαλμοὺς μηδὲν ἀδικήσαντος,
having-contrived of-man eyes nothing having-wronged
ἀλλὰ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ πάσης τῆς Ῥωμαίων
but the his-own soul for all the of-Romans
εὐετηρίας, καὶ τοῖς πολεμικωτάτοις ἔθνεσιν ἀντιταξαμένου
prosperity and to-the most-warlike nations having-opposed
μετὰ καρτεροῦ τοῦ συντάγματος, ἐξὸν ὂν αὐτῷ
with strong the regiment being-possible being for-him
ἀκινδύνως τοῖς βασιλείοις προσμένειν καὶ στρατιωτικοὺς
without-danger in-the palace to-remain and military
πόνους καὶ φόβους ἀποτινάσσεσθαι; ἐκείνου οὗ καὶ τὴν
toils and fears to-shake-off of-that(-man) whose also the
ἀρετὴν πολέμιος αἰδεσθεὶς ἠσπάσατό τε γνησίως καὶ
virtue enemy having-respected greeted both genuinely and
λόγων καὶ ἁλῶν ὡς ἀδελφῷ μεταδέδωκε, καὶ σύνθρονον
of-words and of-salt as with-brother shared and sharing-the-throne
τὸν αἰχμάλωτον ἐποιήσατο, καὶ ὡς ἀγαθὸς ἰατρὸς
the captive made and as good physician
φάρμακον ἀκεσώδυνον τὰς τοιαύτας παρηγορίας τῷ
remedy pain-assuaging the such consolations to-the
φλεγμαίνοντι τῆς λύπης ἐπέθηκεν, ὥστε δικαίως τὴν νίκην
inflamed of-the grief applied so-that justly the victory
ὑπ᾽ ἀθλοθέτῃ θεῷ λαβεῖν ὁ σουλτάνος διαγινώσκεται,
under prize-giving god to-have-taken the sultan is-recognized

τοιοῦτος ἀποδειχθεὶς ἄνθρωπος, καὶ τοσοῦτον ὄγκον
such having-been-shown man and so-great bulk
φρονήσεως καὶ ἀνεξικακίας ἐπιδειξάμενος. σὺ δὲ τί
of-prudence and of-forbearance having-displayed you but what
προστάττεις, ὦ βασιλεῦ; ἀποστερηθῆναι καὶ αὐτοῦ τοῦ
order O emperor to-be-deprived also itself of-the
φωτὸς καὶ τῆς δεδομένης αὐτῷ θεόθεν τῶν δρωμένων
light and of-the given to-him from-god of-the(-things) done
κατανοήσεως τίνα τοῦτον; τὸν πατρὸς ἐπὶ σοὶ πρᾶξιν
perception whom this the(-man) of-father toward you role
εἰληφότα καὶ νόμῳ καὶ πράγματι, τὸν ἀποβεβληκότα
having-taken both by-law and in-fact the(-man) having-cast-off
τὴν βασιλείαν καὶ σοὶ ταύτην προέμενον, τὸν ἐκ
the empire and to-you it having-yielded the(-man) from
πορφυρίδος ῥακοδυτήσαντα, τὸν εἰς βίον μονήρη
purple having-put-on-rags the(-man) to life solitary
μεταλλαξάμενον καὶ τοῖς γηίνοις πᾶσιν ἀποταξάμενον,
having-changed and to-the earthly all having-renounced
τὸν ἀσθενῆ καὶ παρειμένον καὶ ἀκεσωδύνου μᾶλλον
the(-man) weak and enfeebled and of-pain-assuaging rather
θεραπείας καὶ ψυχαγωγίας ἐπιδεόμενον, τὸν ἀπειρηκότα
care and comfort needing the(-man) having-given-up
τοῖς ὅλοις, ἀσθενοῦντα καὶ κακουχούμενον, τὸν ὡς
the whole being-sick and being-ill-treated the(-man) as
κάλαμον συντετριμμένον καὶ ὄμβροις δακρύων ἐκτετηκότα
reed broken and with-rains of-tears having-melted
τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον. ἀλλ' εἰ καὶ ταῦτα
the eyes and the face but if even these-things
τοιαῦτα καὶ τοσαῦτα πρὸς πειθὼ παρακλήσεως, μᾶλλον δὲ
such and so-many for persuasion of-entreaty rather but
πλείω τούτων, ὅσῳ καὶ τὸ ἀγγελικὸν σχῆμα σιωπηρῶς
more than-these as-much-as also the angelic habit silently

σοι παρίσταται πρὸς παράκλησιν, ἀλλὰ σὺ πάντως τῷ
to-you stands-by for entreaty but you wholly to-the
θυμῷ καὶ τῇ ἐπιθυμίᾳ τοῦ βασιλεύειν ἐπιμανῶς καὶ
anger and to-the desire of-the to-reign madly and
ἀκορέστως τὸ πλεῖον τῆς ῥοπῆς ἐπιδώσειας, μήτε τὸ σχῆμα
insatiably the more of-the balance might-give neither the habit
αἰδούμενος μήτε τὴν μητρῴαν θήλην, ἧς οἱ παῖδες
respecting nor the maternal breast of-which the children
ἐκείνου καὶ σοὶ ἀδελφοὶ κοινῶς μετεσχήκατε. ὄψεται δὲ
his and to-you brothers in-common have-shared will-see but
πάντως καὶ σέ ποτε ὄμμα τιτανῶδες καὶ κρόνιον, καὶ
surely also you some-time eye Titanic and Cronian and
τὰς τύχας σοι πρὸς τὴν ὁμοίαν παραστήσει κακότητα.
the fortunes for-you to the like will-bring evil
Ἀλλὰ ταῦτα μὲν ὡς ἐν τῷ τραγῳδίας τρύφει διὰ τὸ 177
but these-things indeed as in the of-tragedy piece because-of the
πάθος παρεκβατικώτερον εἴρηται. ἐπιφοιτήσαντος δὲ τοῦ
feeling more-digressively have-been-said having-arrived but the
παγκακίστου τούτου καὶ ἀνοσίου προστάγματος, δεύτερος
most-wicked this and unholy order second
πάλιν ἀγὼν ὁ περὶ ψυχῆς καὶ φόβος οἷος καὶ κλόνος
again contest the(-one) for life and fear such and shaking
ἀπαραμύθητος τὸν ἐν τοσούτοις κατέλαβε δυστυχήμασι.
inconsolable the(-man) in so-many overtook misfortunes
διὸ καὶ λιταῖς τοῖς ποσὶ τῶν ἐκεῖσε ἀρχιερέων
wherefore also with-supplications at-the feet of-the there high-priests
ἐκυλινδεῖτο, καὶ τὴν ἐκ τούτων βοήθειαν, ὅση τις
he-rolled and the from these help as-much-as some
ἡ ἰσχύς, μετὰ κατωδύνου καὶ ἀφορήτου τῆς συντριβῆς
the strength with grievous and unbearable the contrition
ἐξεκαλεῖτο θερμῶς. παρῆσαν γὰρ ἐκεῖσε ὅ τε Καλχηδόνος
called-for warmly were-present for there the both of-Chalcedon

ὁ Ἡρακλείας καὶ ὁ Κολωνείας, τὰς σπουδὰς αὐτῷ
the of-Heraclea and the of-Koloneia the agreements for-him
συντελέσαντες. ὑπεμίμνησκε δὲ αὐτοὺς καὶ ὅρκων καὶ τῶν
having-concluded he-reminded but them also of-oaths and of-the
ἐκ τοῦ θείου νεμέσεων. οἱ δέ, καί περ βοηθῆσαι τούτῳ
from the divine nemeses they but even though to-help him
βουλόμενοι, ὅμως ἀσθενῶς ἔσχον ἀνδρῶν ἀπηνῶν ἅμα
wishing nevertheless weakly were men harsh at-once
καὶ ὠμηστῶν ἀναρπασάντων αὐτὸν καὶ ὡς ἱερεῖον
and savage having-snatched him and as sacrificial-victim
ἀγόντων ἐπὶ τὸ σφάγιον. καὶ εἰς τὸ κάστρον ἐγκλείσαντες,
leading to the slaughter and into the fort having-shut(-him)
θαμὰ πρὸς πάντας ἐπιστρεφόμενον καὶ τὴν τῶν ἀρχιερέων
often to all turning and the of-the high-priests
κατόπιν παρρησίαν ἰδεῖν διηνεκῶς ἐπευχόμενον, οἰκίσκῳ
behind boldness to-see continually praying to-little-house
τινὶ παραπέμπουσι, καί τινα Ἰουδαῖον ἀμαθῆ τὰ τοιαῦτα
some they-send and some Jew unskilled in-the such(-things)
τὴν τῶν ὀφθαλμῶν αὐτοῦ διαχείρισιν ἐπιτρέπουσι.
the of-the eyes his handling entrust
δήσαντες αὐτὸν ἐκ τεσσάρων, καὶ τῷ στήθει καὶ τῇ
having-bound him from four(-sides) and on-the chest and the
κοιλίᾳ πολλοὺς δι᾽ ἀσπίδος ἐπιστηρίξαντες, φέρουσι τὸν
belly many through shield having-set-firm they-bring the
Ἰουδαῖον περιωδύνως ἄγαν καὶ ἀπηνῶς σιδήρῳ τοὺς
Jew very-painfully exceedingly and harshly with-iron the
ὀφθαλμοὺς αὐτοῦ ἐκταράττοντα, βρυχωμένου κάτωθεν
eyes his gouging bellowing from-below
καὶ ταύρειον μυκωμένου καὶ μηδένα τὸν οἰκτείροντα
and bull-like lowing and no-one the(-one) pitying
ἔχοντος. οὐ μὴν ἅπαξ τοῦτο παθὼν ἀφείθη τῆς
having not however once this having-suffered was-released from-the

τιμωρίας, ἀλλὰ τριχῇ τὸν σίδηρον τοῖς τούτου κατέβαψεν
punishment but thrice the iron in-the his dipped
ὄμμασιν ὁ τῆς θεοκτόνου τυγχάνων σειρᾶς, ἕως
eyes the(-man) of-the god-killing being race until
καὶ πληροφορίαν δι᾽ ὅρκου κείμενος ἔθετο πᾶσαν τὴν
also assurance through oath lying he-gave all the
οἰκονομίαν ἐκχυθῆναι καὶ ἀπορρεῦσαι τῶν ἑαυτοῦ
structure to-have-been-poured-out and to-have-flowed-off from-the his-own
ὀφθαλμῶν. ἐγερθεὶς οὖν αἵματι διαβρόχους ἔχων τοὺς
eyes having-been-raised then with-blood soaked having the
ὀφθαλμούς, θέαμα δ᾽ οἰκτρὸν καὶ ἐλεεινὸν καὶ θρῆνον
eyes sight but pitiable and piteous and lament
ἐπιφέρον τοῖς ὁρῶσιν ἀκάθεκτον, ἡμιθνὴς ἔκειτο,
bringing to-the(-men) seeing uncontainable half-dead lay
προκατειργασμένος μὲν καὶ τῇ νόσῳ, τότε δὲ τοῖς ὅλοις
previously-worn-down indeed also by-the disease then but by-the whole
ἀπαγορεύων καὶ τῆς βασιλικῆς ἐκείνης λαμπρότητος
giving-up and from-the imperial that splendor
καὶ τῆς μέχρις οὐρανοῦ φθανούσης δόξης, μᾶλλον δὲ τῆς
and the as-far-as heaven reaching glory rather but for-the
ὑπὲρ τῶν Ῥωμαίων ἀνδραγαθίας τοιαῦτα κομισάμενος
for the Romans valor such having-received
τὰ ἐπίχειρα. προαχθεὶς οὖν ἐν εὐτελεῖ τῷ ὑποζυγίῳ
the wages having-been-led then on cheap the beast-of-burden
μέχρι τῆς Προποντίδος αὐτῆς, ὥσπερ πτῶμα σεσηπὸς
as-far-as the Propontis itself as corpse rotted
εἵλκετο, τοὺς μὲν ὀφθαλμοὺς κατορωρυγμένους ἔχων,
he-was-dragged the indeed eyes dug-out having
τὴν δὲ κεφαλὴν σὺν τοῖς προσώποις ἐξῳδηκυῖαν, καὶ
the but head with the face swollen and
σκώληκας ἐκεῖθεν δεικνὺς ἀποπίπτοντας. ἡμέρας δ᾽ ὀλίγας
worms from-there showing falling-off days but few

διαλιπὼν ἐπωδύνως τὸν βίον, καὶ πρὸ τῆς τελευτῆς
having-passed painfully the life and before the end
ὀδωδώς, ἀπολείπει, τῇ νήσῳ τῇ Πρώτῃ τὸν χοῦν
stinking he-leaves on-the island — Prote the dust
ἀποθέμενος κατὰ τὴν ταύτης ἀκρώρειαν, ἔνθα νέον ἐκεῖνος
having-laid-down at the its ridge where new he
ἐδείματο φροντιστήριον, κηδευθεὶς μὲν πολυτελῶς
had-built monastery having-been-buried indeed lavishly
παρὰ τῆς πρὶν βασιλίδος καὶ ὁμευνέτιδος Εὐδοκίας,
by the former empress and bedfellow Eudocia
τῆς τοῦ κρατοῦντος μητρὸς (ἐκείνη γὰρ αἰτησαμένη
the of-the ruler mother she for having-asked
τὸν υἱὸν τὴν νῆσον ταύτην καταλαβεῖν τούτῳ τὰ
the son the island this to-reach for-him the(-rites)
τῆς ὁσίας φιλοφρόνως ἐτέλεσε), μνήμην δὲ καταλιπὼν
of-the sacred-duty kindly performed memory but having-left
τοῖς μετέπειτα τῶν τοῦ Ἰὼβ ἐκείνου δυστυχημάτων
to-the(-men) afterward of-the — of-Job that misfortunes
ὑπερβαίνουσαν τὴν ἀκρόασιν. τοῦτο δὲ θαυμασιώτατον
surpassing the hearing this but most-marvelous
ἅμα καὶ γενναιότατον τοῖς πᾶσι διήγημα καταλέλοιπεν,
at-once and most-noble to-the all narrative he-has-left
ὅτι ἐπὶ τοῖς τηλικούτοις πειρασμοῖς καὶ ἀπαραμίλλοις
that at the so-great trials and incomparable
κακοῖς οὐδὲν βλάσφημον ἢ μικρόψυχον ἀπεφθέγξατο, ἀλλ'
evils nothing blasphemous or mean-spirited he-uttered but
εὐχαριστῶν διετέλει καὶ χρόνων προσθήκην ἐπιζητῶν
giving-thanks he-continued and of-times addition seeking
ἐν κακοῖς, ἵνα εὐαρεστήσῃ, φησίν, τῷ ποιήσαντι, τὸν
in evils that he-may-please he-says the(-one) having-made the
τῆς ἀσκήσεως δρόμον διανύων ἐπιπονώτερον.
of-the ascetic-discipline course accomplishing more-laboriously

Michael began well under John of Side, but the eunuch Nikephoros, made logothete of the dromos, pushed out John and the Caesar and ruled by confiscations. Isaac Komnenos was defeated and captured near Caesarea after the Frank Rouselios deserted. The Caesar John, ignoring Botaneiates's advice, crossed the Zompos bridge and was captured. Rouselios burned Chrysopolis; Michael called in the Turks, and Rouselios proclaimed the Caesar emperor. Routing their vanguard near Metabole, he was surrounded by their whole host and taken with the Caesar, and the Turks offered both for ransom.

Ἀλλ᾽ ὁ μὲν ἐν τοσούτοις ἀνιαρῶς τὸ ζῆν καταστρέψας, 179
but he indeed in so-many grievously the to-live having-ended
πολλὴν τοῖς πειραζομένοις παρηγορίαν ἐνέσταξεν
much to-the(-men) being-tried consolation instilled
(ὅσῳ γὰρ ἄν τις καὶ πειρασθείη, οὐκ ἂν τοῖς τούτου
as-much-as for — anyone also may-be-tried not — with-the his
κακοῖς παρισωθείη ποτέ)· ὁ δὲ τὴν βασιλείαν διαδεξάμενος,
evils would-be-equaled ever the but the empire having-received
ὁ τούτου προγονὸς Μιχαήλ, τὴν τῶν Ῥωμαίων ἀρχὴν
the his stepson Michael the of-the Romans rule
περιεζωσμένος ἐπιεικής τις ἐδόκει, καὶ γέρων ἐν νέοις
having-girded-on gentle some seemed and old-man among young
διὰ τὸ παρειμένον καὶ ἁπαλὸν ἐλογίζετο. προσελάβετο
because-of the slackness and softness was-reckoned he-took-on
γὰρ τῶν κοινῶν πραγμάτων διοικητὴν ἄνδρα λόγῳ καὶ
for of-the common affairs administrator man in-speech and
πράξει τῶν πολλῶν διαφέροντα, καὶ γνώμης περιχαροῦς
deed the many excelling and of-mind joyful
καὶ ἀρετῆς ἱκανῶς ἀντεχόμενον, καὶ πᾶσιν ἱλαρῶς
and of-virtue sufficiently holding-to and to-all cheerfully
προσφερόμενον, ἀρχιερέα μὲν τῆς ἐν Σίδῃ καθολικῆς
behaving high-priest indeed of-the in Side catholic

ἐκκλησίας ὑπάρχοντα, τὴν πρώτην προεδρίαν τῶν
church being the first presidency of-the
πρωτοσυγκέλλων ἐπέχοντα, Ἰωάννην τοὔνομα, εὐνοῦχον δὲ
protosynkelloi holding John the-name eunuch but
τὴν κατάστασιν, ὑπὲρ εὐνοῦχον δὲ τὴν ἀγαθότητα καὶ τὴν
in-the condition above eunuch but the goodness and the
πολιτείαν καὶ τὸ μειλίχιον καὶ σωστικὸν καὶ τὸ εὐπρόσιτον
conduct and the gentleness and saving(-nature) and the approachability
ἐνδεικνύμενον· ὅθεν καὶ τῇ τοῦ βασιλεύοντος ἁπλότητι
showing whence also to-the of-the reigning(-man) simplicity
καὶ ἀφελείᾳ τὰς οἰκείας προσθεὶς ἀρετὰς εὐχάριστον
and artlessness the own having-added virtues pleasing
τοῦτον ἐποίει καὶ τοῖς ὑποτεταγμένοις εὐάρεστον, ὅσον
him made and to-the subjects agreeable as-much-as
γε ἦκει κατὰ τοὺς τότε καιρούς. ἀλλ' ἔμελλε πάντως
at-least it-reaches in the then times but was-to surely
τῷ εὐγενεῖ τοῦ σίτου παραμιγῆναί τι καὶ ζιζάνιον,
with-the nobility of-the wheat to-be-mixed some also tare
ἢ τῇ τῆς νυκτὸς ἐπιφοιτήσει τὴν ἡμέραν ἀναγκαίως
or to-the of-the night coming the day necessarily
ὑποχωρῆσαι. ἦν γάρ τις εὐνοῦχος ὀνόματι Νικηφόρος, ἐκ
to-give-way was for some eunuch by-name Nikephoros from
Βουκελλαρίων ἕλκων τὸ γένος, δεινὸς ἐπινοῆσαι καὶ ῥάψαι
Boukellarioi drawing the race clever to-devise and to-stitch
πράγματα καὶ πολλὴν τῇ καταστάσει τὴν τρικυμίαν
affairs and much on-the state the storm
ἐπενεγκεῖν, ὃς εἰς τάξιν τῶν σεκρετικῶν ὑποθέσεων τῷ
to-bring who in rank of-the secretarial matters to-the
πατρὶ τοῦ Μιχαὴλ ὑπηρετησάμενος Κωνσταντίνῳ τῷ
father — of-Michael having-served Constantine —
Δούκᾳ, ἐπεὶ καὶ σκαιὸς ἐφάνη καὶ διαβολεὺς καὶ σοφιστὴς
Doukas since also gauche appeared and slanderer and sophist

τῶν κακῶν ὡς καὶ κατὰ τῆς Αὐγούστης μοιχείας ἔγκλημα
of-the evils so-as also against the Augusta of-adultery charge
τῷ βασιλεῖ ὑποψιθυρίσαι φθόνῳ τοῦ συνεξυπηρετουμένου
to-the emperor to-whisper from-envy of-the serving-with
καὶ συνδιενεργοῦντος αὐτῷ Μιχαὴλ τοῦ Νικομήδρυ,
and working-with him Michael — of-Nikomedes
τῆς μὲν βασιλικῆς παραστάσεως ἀπεπέμφθη, δοὺξ
of-the indeed imperial attendance was-sent-away duke
δὲ τῆς κατὰ κοίλην Συρίαν Ἀντιοχείας ἀποδειχθεὶς
but of-the in hollow Syria Antioch having-been-appointed
οὐδὲ τοῖς ἐκεῖσε μέρεσιν ἀπράγμονα καὶ ἀστασίαστον
not-even for-the there parts untroubled and unrebellious
τὴν διαγωγὴν καταλέλοιπε, προφάσεις πολέμων ἐκ
the life left pretexts of-wars from
κατασκευῆς φρουρίων ἐπισυνείρων, καὶ διανιστῶν τοὺς
building of-forts stringing-together and rousing the
Σαρακηνοὺς ἀντιπολίσματα συνιστᾶν εἰς τὴν τῆς ἄκρας
Saracens counter-towns to-set-up for the of-the citadel
ἐπίθεσιν. καὶ πολεμεῖν μὲν τούτοις ἢ καταπολεμεῖν μὴ
attack and to-war indeed with-these or to-overcome not
δυνάμενος, ἀντιπολεμεῖν τοῖς Ῥωμαίοις καὶ ἀνθιστᾶν
being-able to-war-against the Romans and to-set-against
προσοίκους πόλεις τοῖς Ῥωμαϊκοῖς ὁρίοις ἠρέθιζεν· οὐ
neighboring cities to-the Roman borders he-provoked not
μὴν ἀλλ' οὐδὲ τοῖς ἐγχωρίοις Ἀντιοχεῦσιν ἀνενόχλητον
however but not-even for-the native Antiochenes undisturbed
καὶ ἄλυπον τὴν διαγωγὴν συνετήρησε, ποτὲ μὲν τὰς
and painless the life he-kept sometimes indeed the
κτήσεις αὐτῶν ἀφαιρούμενος, ποτὲ δὲ καταβαρύνων
possessions their taking-away sometimes but weighing-down
αὐτὰς ἀπαιτήσεσι παραλόγοις καὶ ἀπηνέσιν ἐπιφοραῖς.
them with-demands unreasonable and harsh exactions

ὃς τῆς ἀρχῆς ταύτης παραλυθείς, καὶ μετὰ
who from-the command this having-been-removed and after
ταῦτα πάλιν, οἷα τὰ τοῦ κρατοῦντος τότε περιπετῆ
these-things again as the of-the ruling then precarious
καὶ ἀκυβέρνητα ἐφευρήματα, πεμφθεὶς εἰς δευτέραν
and rudderless contrivances having-been-sent to second
ἡγεμονίαν, οὐκ ἐλάττω τῶν προτέρων τὴν μοχθηρίαν
governorship not less than-the former the villainy
εἰσήνεγκε. τοῦ δὲ βασιλεύοντος τεθνηκότος, καὶ τῆς
brought-in the but reigning(-man) having-died and the
Αὐγούστης τὴν αὐτοκράτορα περιελομένης ἀρχήν, ἔσχε τις
Augusta the sole-ruling having-taken-on rule had some
ἐναντία τύχη τὸν πονηρότατον τοῦτον καὶ ἀδικώτατον.
contrary fortune the most-wicked this and most-unjust
βασιλικὸν γὰρ δόγμα καταλαβὸν αὐτὸν εἰς τὴν Ἀντιόχειαν
imperial for decree having-overtaken him at — Antioch
τῇ τοῦ αἵματος φρουρᾷ παραδέδωκε, καὶ ἦν ἔμφρουρος
to-the of-the blood guard handed-over and he-was under-guard
ἐπὶ χρόνον τινὰ κατ᾽ ἐκεῖνον τὸν χῶρον ἐν ᾧ τὸ
for time some in that the place in which the
πρόσθεν περίδοξος ἐγνωρίζετο, τῆς προτέρας εὐετηρίας
before glorious he-was-known for-the former prosperity
τοιαύτην δυσκληρίαν ἀνταλλαξάμενος. ἀναρρυσθεὶς δὲ
such misfortune having-exchanged having-been-rescued but
τῇ τοῦ Διογένους ἀναγορεύσει καὶ εἰς νῆσον ἐξορισθείς,
by-the — of-Diogenes proclamation and to island banished
ὑποσχέσεσι δὲ χρημάτων δικαστὴς Πελοποννήσου καὶ
with-promises but of-moneys judge of-Peloponnese and
Ἑλλάδος ἀποπεμφθείς, τὰ κατὰ τὴν ἐπαρχίαν ἐκείνην
of-Hellas sent-off the(-things) in the province that
διοικούμενος ἦν. τοῦτον ἐπὶ κακῷ τῆς τῶν Ῥωμαίων
administering was him for harm of-the of-the Romans

ἀρχῆς μεταπεμψάμενος ὁ τὴν βασιλείαν ἐσχηκὼς Μιχαήλ,
rule having-summoned the the empire having-got Michael
καὶ μετὰ μικρὸν εἰς τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν
and after little to the of-the common affairs administration
προστησάμενος, καὶ λογοθέτην ἀποδείξας τοῦ δρόμου,
having-set-over and logothete having-appointed of-the dromos
ταῖς ἐκείνου μαγγανείαις καὶ περινοίαις ἁλώσιμος γέγονεν,
by-the his trickeries and cunnings capturable became
οἷα φρονήματος ἀμοιρῶν σταθηροῦ καὶ μειρακιωδῶν
as of-mind lacking steady and of-boyish
ἀθυρμάτων μὴ ἀποδέων. προσωπεῖον γὰρ εὐνοίας ὁ
toys not falling-short mask for of-goodwill —
Νικηφόρος ἐπιδειξάμενος ἐξωθεῖ μὲν τὸν ἐπιεικέστατον
Nikephoros having-displayed thrusts-out indeed the most-gentle
ἄνδρα καὶ λογιώτατον μητροπολίτην τῆς Σίδης τοῦ
man and most-learned metropolitan — of-Side from-the
τὰ κοινὰ διοικεῖν, προφάσεις διὰ παρενθέτων
the common(-affairs) to-administer pretexts through interposed
προσώπων κατ᾽ αὐτοῦ ἐσκαιωρηκώς, παραγκωνίζεται δὲ καὶ
persons against him having-contrived elbows-aside but also
τὸν τοῦ βασιλεύοντος θεῖον τὸν Καίσαρα, καὶ τῷ βασιλεῖ
the of-the reigning(-man) uncle the Caesar and to-the emperor
περιφρονούμενον ἢ μᾶλλον εἰπεῖν ὕποπτον ἀπεργάζεται.
despised or rather to-say suspect makes
καὶ ἁπλῶς πάντας τοὺς οἰκειοτάτους πολεμιωτάτους
and simply all the most-intimate most-hostile
εἶναι συκοφαντήσας καὶ τῆς τοῦ βασιλέως ἀποστερήσας
to-be having-slandered and of-the of-the emperor having-deprived
ἐγγύτητος, ὅλον εἰς ἑαυτὸν ὑποποιεῖται τὸν μειρακίσκον
nearness wholly to himself subjects the boyish
ἄνακτα. καὶ τοῦτο ἦν βασιλικὸν ἐπίταγμα καὶ συντήρημα,
lord and this was imperial command and safeguard

ὅπερ τῷ κακίστῳ τούτῳ Νικηφόρῳ συνέδοξεν. ἐντεῦθεν
what to-the most-wicked this Nikephoros seemed-good thence
κατηγορίαι καὶ ἀπαιτήσεις ἀθώων ἀνδρῶν καὶ ἀποτίσεις
accusations and demands of-innocent men and payments
ἀχρεωστήτων, καὶ κρίσεις τῷ δημοσίῳ τὸ πλέον ἢ τῷ
not-owed and judgments to-the treasury the more than to-the
δικαίῳ προσνέμουσαι, ἀφ' ὧν δημεύσεις καθολικαί τε καὶ
just assigning from which confiscations general both and
μερικαί, κατηγορίαι συχναί, φισκοσυνηγορίαι πολλαί, καὶ
partial accusations frequent fiscal-prosecutions many and
θρῆνος τῶν πασχόντων καὶ σκυθρωπότης οὔτι μικρά.
lament of-the(-men) suffering and gloom not-at-all small
183 Ἀλλὰ τούτων οὕτω γινομένων καὶ κακῶς διαγινομένων
but these-things so happening and badly going-on
θεήλατός τις ὀργὴ τὴν ἑώαν κατέλαβεν· οἱ γὰρ ἐκ Περσίδος
god-driven some wrath the east overtook the for from Persia
ἐπιφανέντες Τοῦρκοι τοῖς Ῥωμαϊκοῖς ἐπιστρατεύσαντες
having-appeared Turks on-the Roman having-marched
θέμασι, δεινῶς κατελυμαίνοντο καὶ κατῄκιζον ταῦτα ταῖς
themes terribly ravaged and outraged them with-the
συνεχέσιν ἐπιδρομαῖς. σκεψάμενος δ' ὁ βασιλεὺς στρατιὰν
continuous raids having-considered but the emperor army
ἐλάσαι κατ' αὐτῶν ἀξιόλογον, συναγείρει μὲν στρατόπεδον,
to-drive against them notable gathers indeed camp
νεώτερον δὲ τούτοις ἡγεμόνα προβάλλεται. συνίστησι
younger but for-these leader puts-forward appoints
δ' αὐτῷ καί τινα Λατῖνον Ῥουσέλιον ἐπονομαζόμενον,
but with-him also some Latin Rouselios named
Φράγγους αὐτῷ παραδοὺς τῶν τετρακοσίων οὐχ
Franks to-him having-handed-over than-the four-hundred not
ἥττονας. ἐν δὲ τῷ Ἰκονίῳ γενομένου τοῦ στρατοπέδου,
fewer in but — Ikonion having-come the army

καὶ φιλονεικίας συνενεχθείσης τινός, ἀποστατεῖ τηνικαῦτα
and of-rivalry having-arisen some revolts at-that-time
προφανῶς ὁ Ῥουσέλιος, καὶ τοὺς Φράγγους παραλαβὼν
openly — Rouselios and the Franks having-taken
ἑτέραν ἐτράπετο, καὶ τὰ καθ' ἑαυτὸν τῷ ἰδίῳ
another(-road) turned and the(-things) concerning himself to-the own
ἐπιτρέπει βουλήματι. ἀνελθὼν οὖν εἰς Μελιτηνὴν καὶ
entrusts will having-gone-up then to Melitene and
Τούρκοις τισὶ συντυχὼν ἀριστεύει κατ' αὐτῶν, ἐξ ἐφόδου
with-Turks some having-met excels against them from attack
τούτοις ἐπεισπεσών. τὸ δὲ λοιπὸν ἅπαν τῶν Ῥωμαίων
on-them having-fallen the but remaining all of-the Romans
στρατόπεδον τῇ Καισαρέων μητροπόλει παραβαλὸν ἐν
army to-the of-Caesareans metropolis having-come in
ταύτῃ τὸν χάρακα τίθησι. σκεψάμενος δὲ ὁ τὴν
it the palisade places having-considered but the(-man) the
ἡγεμονίαν τοῦ πολέμου ἐπέχων (Ἰσαάκιος ὁ Κομνηνὸς
command of-the war holding Isaac — Komnenos
οὗτος ἦν) ἐξ ἐφόδου τοῖς ἐναντίοις Τούρκοις συμμῖξαι,
he was from attack with-the opposing Turks to-engage
προῄει μὲν τῆς νυκτὸς μετὰ μοίρας τινὸς τοῦ στρατοῦ,
advanced indeed by-the night with portion some of-the army
ἀποτυχὼν δὲ τῆς ἐπιβουλῆς τὸ ἐναντίον πάσχει τῆς ἰδίας
having-failed but of-the plan the opposite suffers of-the own
βουλῆς, καὶ τοῖς ἐναντίοις παρεσκευασμένοις περιπεσὼν
counsel and with-the opponents prepared having-fallen-in
ἀπαράσκευος συρρήγνυσι μὲν ἀκούσιον πόλεμον, ἡττᾶται
unprepared joins indeed unwilling war is-defeated
δὲ περιγενομένων αὐτοῦ τῶν ἐναντίων τῷ πλήθει.
but having-prevailed-over him the opponents by-the multitude
αἰχμάλωτος δὲ γεγονὼς διὰ τὸ ἐρρωμένως ταῖς οἰκείαις
captive but having-become because-of the stoutly with-the own

χερσὶν ἀντιτάξασθαι καὶ μὴ δοῦναι νῶτα τοῖς πολεμίοις,
hands to-have-opposed and not to-give backs to-the enemies
συναποβάλλει μετὰ τῆς ἄλλης ἀποσκευῆς καὶ τὸν χάρακα,
loses-with with the other baggage also the palisade
πολλῶν μὲν πεσόντων Ῥωμαίων καὶ ζωγρίᾳ ληφθέντων,
many indeed having-fallen Romans and alive having-been-taken
πλειόνων δὲ φυγῇ τὴν ἰδίαν σωτηρίαν ἐνεγκαμένων.
more but by-flight the own safety having-borne-off
184 Ἀλλὰ τῆς φήμης ταύτης καταλαβούσης καὶ προσπεσούσης
but the report this having-overtaken and having-fallen-on
τῷ βασιλεῖ, ἔδοξε μὲν σκυθρωπόν τι παθεῖν,
the emperor seemed indeed gloomy something to-suffer
οὐ μὴν δὲ τῶν πολιτικῶν ἀδικημάτων ἀπέσχετο,
not however but from-the civic wrongdoings he-refrained
ταῖς τοῦ Νικηφόρου κακαῖς ὑποθημοσύναις πειθόμενος,
by-the — of-Nikephoros evil suggestions persuaded
μηδὲ αὐτός, ὡς ἐφάνη, τὴν φύσιν ἔχων τοῖς
not-even himself as it-appeared the nature having to-the(-things)
συμβουλευομένοις ἀντίθετον. οἱ δὲ Τοῦρκοι τὴν ἰδίαν
counseled opposed the but Turks the own(-land)
ἔκτοτε κατέτρεχον ἀδεῶς. ἁδροῦ δὲ χρυσίου τὴν ἐλευθερίαν
thenceforth overran fearlessly for-stout but gold the freedom
ἀνταλλαξαμένου τοῦ ἡγεμόνος, καὶ αὖθις κατὰ τῶν ἐναντίων
having-exchanged the leader also again against the opponents
στρατὸν εὐτρεπισθῆναι καὶ πεμφθῆναι διεγινώσκετο. καὶ
army to-be-made-ready and to-be-sent was-decided and
προχειρίζεται στρατηγὸς αὐτοκράτωρ ὁ Καῖσαρ
is-appointed general sole-commanding the Caesar
Ἰωάννης, ὁ τοῦ βασιλεύοντος Μιχαὴλ πατράδελφος.
John the of-the reigning Michael paternal-uncle
ὃς διαπεραιωθεὶς καὶ μέχρι τοῦ Δορυλαίου πανστρατιᾷ
who having-crossed and as-far-as — Dorylaion with-whole-army

διελθών, κἀκεῖσε τὴν στρατοπεδείαν καταστησάμενος,
having-passed and-there the encampment having-established
ἄρας ἐκεῖθεν προσωτέρω ἐπεπορεύετο· καὶ μέχρι
having-set-out from-there further went and as-far-as
τῆς γεφύρας τῆς τοῦ Ζόμπου καλουμένης, ἥτις τὸν
the bridge the(-one) — of-Zompos called which the
Σαγγάρην ποταμὸν ἐπικαθημένη τὴν τῶν ἀνατολικῶν
Sangarios river lying-upon the of-the Anatolikoi
καὶ Καππαδοκῶν ἐπιζευγνύει ἐπαρχίαν, γενόμενος, πρὸ
and Cappadocians joins province having-come before
τοῦ ταύτην περαιωθῆναι τὸν Ῥουσέλιον ἐμεμαθήκει πρὸς
the it to-cross — Rouselios he-had-learned at
τὴν ἀντιπέραν στρατοπεδεύσασθαι, τὴν ἐκ τῆς
the opposite(-side) to-have-encamped the(-road) from the(-theme)
τῶν Ἀρμενιακῶν ἄραντα μετὰ πολλῆς καὶ ἀγρύπνου
of-the Armeniakoi having-set-out with much and sleepless
τῆς ἱππασίας καὶ ἐπιτάσεως. πέμψας δὲ ὁ Καῖσαρ περὶ
the riding and intensity having-sent but the Caesar about
συνθηκῶν αὐτῷ καὶ εἰρήνης, ὡς εἰκός, διελέξατο. οὐκ ἐν
agreements to-him and peace as fitting conversed not in
ἴσῳ δὲ τῷ τῆς τύχης ἀποτελέσματί τε καὶ συγκυρήματι
equality but with-the of-the fortune result both and coincidence
τὴν πρεσβείαν εἰσήνεγκεν, οὐδ' ἐπὶ φιλοτίμοις ἐπαγγελίαις
the embassy he-brought nor on lavish offers
καὶ δωρεαῖς, ἀλλ' ἐπὶ ταπεινώσει καὶ συμβουλῇ τάχα τοῦ
and gifts but on humbling and counsel perhaps of-the
μὴ ἀπηνῶς καὶ χαλεπῶς διαχειρισθῆναι. ὁ δὲ Ῥουσέλιος
not harshly and severely to-be-handled — but Rouselios
ἅμα μὲν ταῖς ἰδίαις χερσὶ θαρρῶν, ἅμα δὲ
at-the-same-time indeed in-the own hands trusting at-the-same-time but
καὶ πολεμικοῦ φρονήματος καὶ γενναιότητος πνέων, οὐκ
also of-warlike spirit and nobility breathing not

ἐδέξατο τὴν πρεσβείαν ὡς ἀτιμάζουσαν αὐτοῦ τὴν ἰσχὺν
received the embassy as dishonoring his the strength
καὶ ἀπειλοῦσαν καὶ οὐχὶ δεξιουμένην αὐτὸν ὑποσχέσεσι.
and threatening and not welcoming him with-promises
καὶ διὰ τοῦτο πόλεμος ἀμφοῖν ἐπεκηρυκεύθη τοῖς
and because-of this war for-both was-proclaimed to-the
μέρεσιν. ἐπεχείρει μὲν οὖν ὁ Καῖσαρ διὰ τῆς γεφύρας
parties tried indeed then the Caesar through the bridge
περαιωθῆναι κατ' αὐτοῦ· συνεβούλευε δ' ὁ συστράτηγος
to-cross against him counseled but the fellow-general
(ἦν δ' οὗτος Νικηφόρος κουροπαλάτης ὁ Βοτανειάτης,
